Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49



Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

W. Dierkens

1730

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Kw 224
G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ΕΚΚΛΗΣΙΩΝ
τῆς Βελγικῆς

ΕΞΟΜΟΛΟΓΗΣΙΣ

καὶ

ΚΑΤΗΧΗΣΙΣ

Hoc eſt:

ECCLESIARUM BELGICARUM

CONFESSIO,

Interprete JACOBO REVIO:

ET

CATECHESIS

quæ in Eccleſiis & Scholis Belgicarum provinciarum traditur;

Interprete FRID. SYLBURGIO.



Koninklijke Bibliotheek 's Hage

ULTRAJECTI,
Ex Officinâ Hermanni Ribbii, A. 1660.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Typographus Lectori S.

IUventuti Chriſtianæ ut una cum bonis literis ipſa pietatis & doctrinæ ſincerioris elementa ſimul inſtillentur, nemo eſt qui non intelligat quantopere Reipublicæ Chriſtianæ interſit. Huic fini doctiſſimus & Græcarum literarum peritiſſimus D. FRIDERICUS SYLBURGIUS *Catecheſin Palatinam in Linguam Græcam olim transfudit. Cum autem diſtractis exemplaribus verſio hæc in Scholarum, imprimis Belgicarum, uſum denuo nobis typis eſſet deſcribenda, operæ nos pretium facturos arbitrati ſumus, ſi eidem quoque Confesſionis Eccleſiarum Belgicarum verſionem Græcam adjungeremus. Hâc in parte doctiſſimus Vir* D. JACOBUS REVIUS, *Eccleſiæ Daventrienſis Paſtor, pro ſingulari ſuo erga Eccleſias & Scholas ſtudio, operam ſuam haud gravate commodavit, & Confesſionem hanc in Synodo Dordrechtanâ nuper recognitam in ſermonem Græcum convertit. Tu, Lector benigne, fruere, & vale.*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Εἰς τὴν τῆς εὐσεβείας εἰκόνα.

Τίς, πόθεν εἶς, κούρη, κακῷ ἢ χροῒ εἵματα
ἕσσο;
Εὐσέβειαν γενέτης μ' ἐξονόμηνε Θεός.
Ῥωγαλέην τί χιτῶνα φορεῖς; ὅτι πλοῦτον ἀτίζω.
Ἥδε βίβλος τί; πατρὸς κυδαλίμοιο νόμος.
Γυμνὸν στῆθος ὁρῶ σε; φιλῶ νημερτέα βάζειν.
Σταυρῷ ἐρειδομένην; ἥδ' ἀνάπαυσις ἐμή.
Τί πτερόεσσα; βροτοὺς κέλομαι ὑπὲρ ἄστρα πέ-
τεσθαι.
Τί στίλβουσα; νόου τὴν σκοτίαν κεδάω.
Ἡνία τί μετὰ χερσί; παθῶν τὰ χερείονα νικῶ.
Κῆρα πατεῖς; θάνατος γὰρ θανάτοιο πέλω.

ΕΚΚΛΗ-

ΕΚΚΛΗΣΙΩΝ τῆς ΒΕΛΓΙΚΗΣ

Χριστιανικὴ καὶ Ὀρθόδοξος

ΕΞΟΜΟΛΟΓΗΣΙΣ,

Περιέχουσα ὑποτύπωσιν τῆς διδαχῆς περὶ τοῦ Θεοῦ καὶ τῆς αἰωνίου τῶν ψυχῶν σωτηρίας.

ECCLESIARUM BELGICARUM

Chriſtiana atque Orthodoxa

CONFESSIO,

Summam Doctrinæ de Deo, & æternâ animarum ſalute complectens.

Κεφ. α΄.

Πιστεύομεν πάντες τῇ καρδίᾳ, καὶ στόματι ὁμολογοῦμεν μίαν εἶναι καὶ ἁπλῆν οὐσίαν πνευματικὴν, ἣν λέγομεν Θεὸν, ἀΐδιον, ἀκατάληπτον, ἀόρατον, ἀμετάβλητον,

ARTIC. I.

Corde credimus, & ore confitemur omnes, unicam eſſe & ſimplicem eſſentiam ſpiritualem, quam Deum vocamus; eumque æternum, incomprehenſibilem, inviſibilem, immutabilem, inſi-

infinitum, omnipotentem, ſumme ſapientem, juſtum, & bonum, omniumque bonorum fontem uberrimum.

II.

Duobus autem modis eum cognoſcimus: primò, per creationem, conſervationem, atque totius mundi gubernationem: quandoquidem is coram oculis noſtris eſt, inſtar libri pulcherrimi, in quo creaturæ omnes, magnæ minoreſque, loco characterum ſunt, qui nobis Dei inviſibilia contemplanda exhibent: æternam nempe ejus potentiam & divinitatem, ut Paulus Apoſtolus loquitur Rom. 1. 20. Quæ omnia ad convincendos & inexcuſabiles reddendos homines, ſufficiunt. Secundò ipſe ſeſe nobis longe maniſeſtius & plenius in ſacro & divino ſuo verbo cognoſcendum præ-

ἀπέραντον, παντοδύναμον, ὁλοτελεῖ σοφίᾳ, δικαιοσύνῃ, χρηστότητι, καὶ ἀέναον πηγὴν πάντων ἀγαθῶν.

β'.

Ἐπιγινώσκομεν αὐτὸν κατὰ δύο τρόπους· πρῶτον μὲν ἀπὸ κτίσεως καὶ διατάξεως, ἔτι τε καὶ κυβερνήσεως κόσμου, ὅς ἐστι πρὸ ἡμετέρων ὀφθαλμῶν ὡσπερανεὶ βίβλος κοσμία, καὶ τὰ ποιήματα μεγάλα τε καὶ μικρὰ γραμμάτων δίκην φανερούντων ἡμῖν τὰ ἀόρατα τοῦ θεοῦ, τήν τε ἀΐδιον αὐτοῦ δύναμιν καὶ θειότητα, καθάφησι Παῦλος ὁ ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους α'. καὶ ταῦτα δὴ σύμπαντα ἀρκεῖ πρὸς τὸ τοὺς ἀνθρώπους ἐλέγξειν καὶ ἀναπολογήτους καταστήσειν. δεύτερον δὲ, σαφέστερον ἔτι καὶ τελειότερον ἑαυτὸν ἡμῖν δηλοῖ ὁ Θεὸς δι' ἁγίου αὐτοῦ καὶ θείου λόγου, ἐφ'

ἐφ᾽ ὅσον δηλαδὴ ἐν τῷ
αἰῶνι· τούτῳ ἐπιτήδειόν
ἐστιν, αὐτῷ πρὸς δόξαν,
καὶ τοῖς ἑαυτοῦ πρὸς σω-
τηρίαν.

γʹ.

Ὁμολογοῦμεν ὅτι οὐ
θελήματι ἀνθρώπου ἠνέ-
χθη ποτὲ λόγος Θεοῦ,
ἀλλ᾽ ὑπὸ πνεύματος ἁ-
γίου φερόμενοι ἐλάλησαν
οἱ ἅγιοι Θεοῦ ἄνθρωποι,
ὡς ὁ ἐν ἁγίοις Πέτρος
φησίν. ὕστερον ὁ Θεὸς δια-
φερόντως ἡμῶν καὶ τῆς
ἡμετέρας φροντίζων σω-
τηρίας, τοὺς αὐτοῦ δούλους
προφήτας τε καὶ ἀποστόλους
ἐκέλευσε τὸν φανερωθέντα
ἑαυτοῦ λόγον ἐγγράφως
παραδοῦναι, καὶ αὐτὸς δὲ
τῷ αὐτοῦ δακτύλῳ ἔγρα-
ψε τὰς δύο νόμου πλά-
κας. ἀνθ᾽ ὧν τάσδε τὰς
γραφὰς ἁγίας καὶ θείας
προσαγορεύομεν.

δʹ.

Περιλαμβάνομεν τὴν
θείαν γραφὴν τοῖς δύο

bet. quantum quidem
id. ad gloriam ipſius,
noſtramque in hâc vi-
tâ, ſalutem neceſſarium
eſt.

III.

Confitemur, hoc
Dei verbum, non hu-
manâ voluntate alla-
tum, traditumque fu-
iſſe, ſed ſanctos Dei
viros divino afflatos
ſpiritu, locutos eſſe,
ut beatus Petrus ait.
Poſtea verò Deus, pro
ſingulari curâ, quam
de nobis, noſtrâque
ſalute gerit, ſervis ſu-
is Prophetis & Apo-
ſtolis mandavit, ut ſua
illa oracula ſcriptis
conſignarent. Quin &
ipſe, duas tabulas le-
gis, digito ſuo exara-
vit. Atque hanc ob
cauſam, ſcripta hu-
juſmodi, ſacras & di-
vinas ſcripturas appel-
lamus.

IV.

Sacram autem ſcri-
pturam, duobus volu-

minibus Veteris nimirum, & Novi Teſtamenti, complectimur: qui ſunt libri Canonici. Quibus nihil opponi poteſt. Eorum in Dei eccleſiâ hic eſt catalogus. Veteris quidem Teſtamenti, Quinque libri Moſis; nempe, Geneſis, Exodus, Leviticus, Numeri, Deuteronomium; Liber Joſuæ, Judicum, Ruth, duo libri Samuelis, & duo Regum, duo libri Chronicorum, qui Paralipomenon dicuntur; primus Eſdræ, Nehemias, Eſther. Item, Job, Pſalmi Davidis, tres libri Salomonis, videlicet Proverbia, Eccleſiaſtes, & Canticum Canticorum: Quatuor Prophetæ Majores; Eſaias, Jeremias, cum ejuſdem Threnis, Ezechiel, & Daniel: inde reliqui duodecim Minores Prophetæ; nempe, Oſeas, Joël, Amos, Abdias, Jonas, Micheas, Nahum, Habacuc, Zophonias, Ag-

συστήμασι βιβλίων κανονικῶν καὶ ἀναντιλέκτων, παλαιᾶς δηλαδὴ καὶ νέας διαθήκης. ὧν οὗτος κατεστάθη ἐν τῇ Θεοῦ ἐκκλησίᾳ ὁ ἔλεγχος καὶ τάξις· πεντάτευχος ἤγουν Γένεσις, Ἔξοδος, Λευιτικὸν, Ἀριθμοὶ, Δευτερονόμιον. Ἰησοῦς Ναυῆ, Κριταὶ, Ῥοὺθ, δύο τοῦ Σαμουὴλ, δύο Βασιλειῶν, δύο χρονικῶν ἐπίκλην Παραλειπομένων, Ἔσδρου πρῶτον, Νεεμίας, Ἐσθὴρ, Ἰὼβ, ψαλτήριον Δαβὶδ, Σολομῶντος τρία· Παροιμίαι, Ἐκκλησιαστὴς, Ἆσμα ᾀσμάτων. προφῆται μείζονες τέτταρες· Ἠσαΐας, Ἱερεμίας, σὺν τοῖς Θρήνοις αὐτοῦ, Ἰεζεκιὴλ, Δανιὴλ εἶτα οἱ λοιποὶ δώδεκα ἐλάττονες· Ὠσηὲ Ἰωὴλ, Ἀμὼς, Ἀβδιοὺ, Ἰωνᾶς, Μιχαίας, Ναοὺμ, Ἀββακοὺκ, Σοφονίας, Ἀγγαῖος,

γαῖος, Ζαχαρίας, Μαλαχίας. κοινῆς δὲ διαθήκης, Εὐαγγελισταὶ τέτταρες, ἅγιος Ματθαῖος, ἅγ. Μάρκος, ἅγ. Λουκᾶς, ἅγ. Ἰωάννης, πράξεις τῶν ἀποστόλων, τεσσαρεσκαίδεκα Ἐπιστολαὶ ἁγίου Παύλου, ἡ πρὸς Ῥωμαίους, δύο πρὸς Κορινθίους, πρὸς Γαλάτας, πρὸς Ἐφεσίους, πρὸς Φιλιππησίους, πρὸς Κολοσσαεῖς, δύο πρὸς Θεσσαλονικεῖς, δύο πρὸς Τιμόθεον, πρὸς Τίτον, πρὸς Φιλήμονα, πρὸς Ἐβραίους. τῶν τε ἄλλων ἀποστόλων ἑπτά· ἡ Ἰακώβου, δύο Πέτρου, τρεῖς Ἰωάννου, ἡ Ἰούδα, καὶ Ἀποκάλυψις Ἰωάννου τοῦ Ἀποστόλου.

ε'.

Πάντα δὲ μόνα τὰ εἰρημένα βιβλία ὡς ἀβέβηλα καὶ κανονικὰ πάσης ἀποδοχῆς ἀξιοῦμεν, εἰς τὸ τὴν ἡμῶν πίστιν κατὰ ταῦτα κυβερνᾶσθαι, ἐν τούτοις θεμελιοῦσθαι, ἐκ

gæus, Zacharias, Malachias. Novi vero Teſtamenti; Quatuor Euangeliſtæ: Sanctus ſcilicet Matthæus, Marcus, Lucas, & Johannes; Acta Apoſtolorum, Quatuordecim Epiſtolæ S. Pauli, quæ ſunt, ad Romanos, ad Corinthios duæ, Galatas, Epheſios, Philippenſes, Coloſſenſes, ad Theſſalonicenſes duæ, ad Timotheum duæ, ad Titum, Philemonem, Hebræos; & ſeptem epiſtolæ reliquorum Apoſtolorum: nempe Jacobi, Petri duæ, Johannis tres, Judæ. Apocalypſis denique S. Johannis Apoſtoli.

V.

Hoſce omnes libros ſolos pro ſacris & Canonicis recipimus; ut ad eos, veluti ad regulam, fides noſtra exigatur, iiſque, tanquam

fundamento innitatur & ſtabiliatur. Eaque omnia, quæ illis continentur, abſque omni dubitatione credimus: idque non tam, quod Eccleſia eos pro hujuſmodi recipiat & approbet, quam imprimis, quod Spiritus Sanctus in cordibus noſtris teſtetur, à Deo profectos eſſe, comprobationemque ejus in ſe ipſis habeant, quum vel ipſi cœci, ea quæ in illis prædicta fuerunt, eveniri, ipſo quaſi contactu deprehendant.

VI.

Differentiam porro conſtituimus inter libros hoſce ſacros, & Apocryphos; qui ſunt, Tertius & Quartus Eſdræ: Libri Tobiæ, Judith, Sapientiæ, Eccleſiaſtici, Baruch cum epiſtolâ Jeremiæ, Adjectiones ad Eſtherem, Canticum in fornace

τούτων βεβαιοῦσθαι. καὶ πάντα τὰ τούτοις περιεχόμενα ἀδιστάκτως πιστεύομεν. οὐχ ὅλως διὰ τὸ ὑπὸ ἐκκλησίας αὐτὰ δεδοκιμασμένα τοιαύτης προτιμίας τετυχέναι, ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ μαρτυρεῖν ἐν ταῖς καρδίαις ἡμῶν τὸ ἅγιον πνεῦμα ὡς θεόπνευστά ἐστιν, ὁμοίως τε διὰ τὸ ἔχειν αὐτὰ παρ' αὐτοῖς τὴν αὐτομαρτυρίαν, ἐπειδήπερ καὶ τυφλοῖς πρόδηλον ὡς τὰ ἐν αὐτοῖς προφητευόμενα ἅπαντα πέρας λαμβάνει.

ϛʹ.

Χωρίζομεν τάσδε τὰς ἁγίας βίβλους ἀπὸ τῶν λεγομένων ἀποκρύφων, ὧν οὗτος ὁ ἔλεγχος· Ἔσδρα τρίτη καὶ τετάρτη, Τωβίτ, Ἰουδίθ, Σοφία ἐπίκλην Σολομῶντος, Σοφία Σειρὰχ, Βαροὺχ σὺν τῇ ἐπιστολῇ Ἱερεμίου, τὰ τῇ Ἐσθὴρ ἱστορίᾳ προστεθειμένα, Ὠδὴ τριῶν παίδων

ἐν

ἐν τῇ καμίνῳ τοῦ πυρός, Σωσάννης ἱστορία, περὶ τοῦ Βὴλ καὶ δράκοντος, προσευχὴ τοῦ Μανασσῆ, καὶ δύο λόγοι Μακκαβαίων. καὶ ταύτας τὰς βίβλους ἔξεστι μὲν τῇ Ἐκκλησίᾳ ἀναγινώσκειν καὶ εἰς διδασκαλίαν παραχρίζεσθαι ἐφ' ὅσον ταῖς κανονικαῖς γραφαῖς ἁρμόζουσαι τυγχάνουσι, πλὴν πολὺ ἀπολείπουσι τοῦ δόγματί τι ἢ μέρος τῆς χριστιανικῆς πίστεως δι' αὐτῶν στηρίζεσθαι μὴ ὅτι γε τῶν ἑτέρων θεοπνεύστων οὐσῶν τὸ αὐτόπιστον μειῶσαι οἷαί τ' ὦσι.

ζ'.

Πιστεύομεν ταύτην τὴν ἁγίαν γραφὴν τὸ Θεοῦ θέλημα τελείως περιέχειν, καὶ ὅσα ὁ ἄνθρωπος ὀφείλει πιστεύειν ὅπως σωθῇ ἱκανῶς ἐν αὐτῇ διδάσκεσθαι· ἐπεὶ γὰρ ὁ τρόπος λατρείας ἧς ἡμῖν ἀπαιτεῖ ὁ Θεὸς διεξοδικῶς αὐτόθι συγγέγρα-

trium puerorum, Hiſtoria Suſannæ, Idoli Belis, & Draconis: Oratio Manaſſis, duo præterea libri Machabæorum: quos quidem Eccleſia legere, & ex iis documenta de rebus cum libris Canonicis conſentientibus deſumere poteſt: At nequaquam ea ipſorum vis & auctoritas eſt, ut ex ullo teſtimonio ipſorum aliquod dogma de fide aut religione Chriſtianâ certo conſtitui poſſit: tantum abeſt, ut divinorum illorum librorum auctoritatem imminuere valeant.

VII.

Credimus Sacram hanc Scripturam, Dei voluntatem perfectè complecti, & quodcunque ab hominibus, ut ſalutem conſequantur, credi neceſſe eſt, in illâ ſufficienter edoceri. Nam quum illic omnis divini cultus ratio quem Deus à nobis exigit, fuſiſſimè deſcri-

pta ſit; nulli hominum, ne Apoſtolis quidem, ſas eſt aliter docere, quam jam pridem in Sacris literis edocti ſumus, imo vero, etjamſi è cœlo angelus foret, ut ait Apoſtolus Paulus. Quum enim vetitum ſit, nequis Dei verbo quicquam addat aut detrahat, ſatis eo ipſo demonſtratur, doctrinam illius perfectiſſimam omnibuſque modis conſummatam eſſe. Sed nec cum divinis iiſdem ſcripturis, ulla hominum, quantumvis ſanctitate prædito rum, ſcripta, neque ulla conſuetudo, cum divinâ veritate, (veritas enim rebus omnibus antecellit) neque multitudo, neque antiquitas, neque temporum, perſonarumque Succeſſio, neque Concilia, Decreta, aut ſtatuta, comparari poſſunt. Omnes enim homines mendaces ex ſe ipſis ſunt, ipsâque vanitate vaniores. Idcirco

πτει, οὐκ ἔξεστιν ἀνθρώποις κἂν ἀπόστολοι ὦσι διάφορόν τι διδάσκειν τῆς δι' ἁγίας γραφῆς διδασκομένων. ἀλλά τε τοῦ ἀγ. Παύλου λέγοντος, οὐδὲ κἂν ἄγγελος ἐξ οὐρανοῦ ὑπάρχῃ. ἐκ τοῦ γὰρ κωλῦσαι τὸν Θεὸν τῷ ἑαυτοῦ ῥήματι ὅλως οὐδὲ ἐπιθεῖναι οὐδὲν, οὐδὲ ἀφελεῖν, καταμαθεῖν ἐστιν ὡς ἐκ παντὸς τρόπου αὐτοτελὴς αὕτη ἡ διδαχή. εἶτα δὲ οὔτε ἀνθρώπων συγγράμματα κἂν ἁγιότητι διαφερόντων, οὔτε συνήθειαν, οὔτε πλῆθος κἂν ᾖ μέγιστον, οὔτε ἀρχαιότητα, οὔτε χρόνων ἢ καὶ καθηγητῶν διαδοχὴν, οὔτε συνόδους, οὔτε ἐντάλματα, οὔτε δόγματα ταῖς θείαις γραφαῖς, καὶ τῇ πάντα ὑπερβαλλούσῃ Θεοῦ ἀληθείᾳ ἐξισάζειν θέμις ἐστι. ψευδεῖς γὰρ φύσει πάντες οἱ υἱοὶ τοῦ ἀνθρώπου καὶ ματαιότης ματαιοτήτων, ὧν ἕνεκα ὁλοψό-

ὁλοψύχως ἀποδοκιμάζομεν ὁτιοῦν τούτῳ τῷ κανόνι ἀπλανεῖ οὐχ ἁρμόττον ἁλίσκεται, καθὼς οἱ ἀπόστολοι ἡμᾶς ἐδίδαξαν, εἰπόντες, δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ Θεοῦ ἐστι. καὶ αὖθις, εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν·

toto animo rejicimus quicquid cum certiſſimâ hâc regulâ non convenit, quemadmodum edocti ab Apoſtolis ſumus, cum dicunt: Probate ſpiritus an ex Deo ſint. Item, ſi quis venit ad vos & hanc doctrinam non adfert, ne recipite eum in domum veſtram.

η´.

Ἀκολούθως ταύτῃ τῇ ἀληθείᾳ καὶ θείῳ λόγῳ πιστεύομεν εἰς ἕνα Θεὸν, ὅς ἐστι μία καὶ μόνη οὐσία ἐν ᾗ ὑπάρχουσι τρεῖς ὑποστάσεις, ἀληθῶς, καὶ τῷ ὄντι, καὶ πρὸ αἰώνων, κεχωρισμέναι ἀπ᾽ ἀλλήλων κατὰ τὰς ἀκοινωνήτους ἑαυτῶν ἰδιότητας, ἀμέλει ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα. ὁ μὲν πατὴρ αἰτία καὶ ἀρχὴ καὶ δημιουργὸς πάντων εἴτε ὁρατῶν εἴτε ἀοράτων, ὁ δὲ υἱὸς λόγος, σοφία καὶ χαρακτὴρ τοῦ πατρὸς, τὸ δὲ ἅγιον πνεῦμα

VIII.

Secundum hanc veritatem & Dei verbum, Credimus in unum Deum, qui eſt unica eſſentia, in quâ tres ſunt perſonæ incommunicabilibus proprietatibus ab æterno revera ac reipſa diſtinctæ, nempe Pater, Filius & Spiritus Sanctus: Pater omnium rerum, tam viſibilium quam inviſibilium cauſa, origo, atque principium eſt. Filius eſt Verbum, Sapièntia, & Imago Patris: Spiritus San-

ctus, virtus & potentia æterna, à Patre Filioque procedens. Veruntamen hæc diſtinctio non efficit, ut Deus in tres ſit diviſus; quãdoquidẽ ſcriptura nos docet, Patrem, Filium, & Spiritum Sanctum, ſingulos diſtinctam habere ſuis proprietatibus hypoſtaſin. Ita tamen, ut tres hæ perſonæ tantum ſint unus & ſolus ille Deus. Manifeſtum itaque eſt, Patrem non eſſe Filium, neque Filium eſſe Patrem; ſimiliter Spiritum Sanctum nec Patrem neq; Filium eſſe. Interim Perſonæ illæ ita diſtinctæ non ſunt diviſæ: neque inter ſe confuſæ aut permixtæ, Non enim Pater carnem aſſumſit, ut nec Spiritus Sanctus, ſed ſolus Filius. Pater nunquam ſine Filio ſuo, nec ſine Spiritu ſuo Sancto fuit. Quia tres hi in unâ eâdemque eſſentiâ, æternitate ſunt æquales, Nihil hic prius

ἡ ἐκ πατρός τε καὶ υἱοῦ ἐκπορευομένη ἀΐδιος δύναμις. οὐ μὴν διασπᾶται διὰ ταύτης τῆς διαστολῆς εἰς τρία μέρη τὸ Θεῖον. διδάσκει γὰρ ἡμᾶς ἡ ἁγία γραφὴ ὅτι ὁ πατὴρ, καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, ἰδίαν μὲν ἕκαστος ὑπόστασιν τοῖς οἰκείοις γνωρίσμασι διακεκριμένην ἔχουσιν, ὅμως δὲ αἱ τρεῖς αὗται ὑποστάσεις ὁ εἷς καὶ μόνος ὑπάρχουσι Θεός. Δῆλον οὖν ὡς οὐδὲ ὁ πατὴρ ὁ υἱός ἐστιν, οὐδὲ ὁ υἱὸς ὁ πατὴρ, οὐδὲ τὸ ἅγιον πνεῦμα τὸ ἕτερον τῶν εἰρημένων προσώπων, ἀδιαιρέτως δὲ αἱ ὑποστάσεις ἅμα καὶ ἀσυγχύτως διαφέρουσι μόνος γὰρ ὁ υἱὸς τὴν σάρκα ἔλαβεν, ἀλλ' οὐχ ὁ πατὴρ οὐδὲ τὸ ἅγιον πνεῦμα. ὁ πατὴρ οὐδέποτε ὑπέστη χωρὶς τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. συναΐδιοι γὰρ οἱ τρεῖς καὶ ὁμοούσιοι. κ' ἐν ταύτῃ τῇ τριάδι οὐδὲν πρότε-

πρότερον ἢ ὕϛερον, οἱ γὰρ
τρεῖς ἕν εἰσι τήν τε ἀλή-
θειαν, καὶ δύναμιν καὶ χρη-
ϛότητα, καὶ εὐσπλαγχνίαν.

θ'.

Σαφηνίζουσιν ἡμῖν τῶν
λεχθέντων τ' ἀληθὲς αἵ τε
τῆς ἁγίας γραφῆς μαρτυ-
ρίαι, καὶ δὴ καὶ αὐτῶν τῶν
ὑποϛάσεων ἐργασίαι, μά-
λιϛα ὧν ἐν ἡμῖν αὐτοῖς
αἰσθανόμεθα. μαρτυρίας
μὲν τῆς παναγίας τριάδος
πίϛιν ἡμῖν ἀσφαλιζού-
σας ἡ παλαιὰ Διαθήκη
ἀφθόνως χορηγεῖ, ὧν οὐχ
οὕτως λυσιτελήσει περὶ
τὸ πλῆθος σπουδάζειν ὡς
ἐκλέγειν τὰ ἐξαίρετα. ἐν
γενέσει λέγει ὁ Θεός ποιή-
σωμεν ἄνθρωπον κατ' εἰ-
κόνα ἡμετέραν καὶ καθ'
ὁμοίωσιν, καὶ τὰ ἑξῆς. καὶ
ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρω-
πον (καθ' ἑαυτοῦ εἰκόνα)
κατ' εἰκόνα Θεοῦ ἐποίησεν
αὐτὸν, ἄρσεν καὶ θῆλυ
ἐποίησεν αὐτούς. καὶ πά-
λιν. Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς

eſt aut poſterius, quum omnes tres unum ſint, tum veritate & potentiâ, tum bonitate & miſericordiâ.

IX.

Hæc vero omnia cognoſcimus, tam ex Sacræ Scripturæ teſtimoniis, quam ipſarum perſonarum effectis, iiſque potiſſimum quæ in nobis ipſis percipimus. Et ſacræ quidem ſcripturæ teſtimonia, quæ nos docent Sanctam hanc Trinitatem credere, in compluribus Veteris Teſtamenti locis extant; quæ non tam numeranda quam ſeligenda, diſcernendaque ſunt. Libro Geneſeos dicit Deus, Faciamus hominem ad imaginem noſtram, & ſecundum ſimilitudinem noſtram, &c. Deus itaque creavit hominem ad imaginem ſuam; marem & fœminam creavit eos. Item: Ecce Adam factus eſt tan-

quam unus è nobis. Ex eo quod ait: Faciamus hominem ad imaginem noſtram, plures eſſe in Deitate perſonas apparet: Cum vero inquit: Deus creavit, unitatem indicat. Verum id quidem eſt, ibidem non exprimi quot ſint perſonæ, ſed quod nobis in Teſtamento veteri paulo eſt obſcurius, id perſpicuum eſt admodum in Novo. nam quum Dominus noſter in Jordane baptizaretur, Patris vox audita fuit, dicentis: Hic eſt Filius meus dilectus; Filius in aquis viſus eſt: Spiritus Sanctus ſub ſpecie columbæ apparuit, Quin etjam in omnium fidelium baptiſmo hæc formula à Chriſto præſcripta fuit: Baptizate omnes gentes in nomine Patris, & Filii, & Spiritus Sancti. In Euangelio Sancti Lucæ, Angelus Gabriel Mariam

εἷς ἐξ ἡμῶν. ταῦτα τῶν μὲν ὑποστάσεων πληθυντικά ἐστιν, εἰπόντος Θεοῦ· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, ἐνίζει δὲ τὴν οὐσίαν, εἰπόντος· ἐποίησεν ὁ Θεός. ἔνθα ὁ μὲν ἀριθμὸς τῶν θείων ὑποστάσεων οὐ σαφῶς δηλοῦται, ἀλλὰ τὸ ἡμῖν ἀσαφὲς πῶς ἐν παλαιᾷ διαθήκῃ ἡ νέα ἱκανῶς σαφηνίζει. Βαπτιζομένου γὰρ ἐν τῷ Ἰορδάνῃ τοῦ κυρίου ἡμῶν ἠκούσθη ἡ φωνὴ τοῦ πατρὸς, λέγοντος. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. ὁ δὲ υἱὸς ὤφθη ἐν ὕδατι, τὸ δὲ ἅγιον πνεῦμα ἐφανερώθη σωματικῷ εἴδει ὡς περιστερά. ἀλλὰ καὶ ἐν πάντων τῶν πιστῶν βαπτίσματι τοιοῦτον τινὰ ὅρον ἔθηκεν ὁ Χριστός· Βαπτίζετε πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ ὁ ἄγγελος Γαβριὴλ τῇ Μαριὰμ

οὐδέπως

ὧδέ πως εἶπε· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σε καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς Θεοῦ. καὶ ὁ Παῦλος. ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ; καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν. καὶ ὁ Ἰωάννης· τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ. ὁ πατὴρ ὁ λόγος. καὶ τὸ ἅγιον πνεῦμα. καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι. πληροφοροῦσιν ἡμᾶς πᾶσαι αἱ προκεχειρισμέναι γραφαὶ, ὡς ἐν μιᾷ τῆς Θεότητος οὐσίᾳ τρεῖς θεωροῦνται ὑποστάσεις. καὶ ταύτην τὴν διδαχὴν ὑπερ πᾶσαν κατάληψιν σοφίας οὖσαν ἀνθρωπίνης, οὐδὲν ἧττον ἐν τῷ παραυτίκα μετὰ τὸ ῥῆμα τοῦ Θεοῦ πιστεύομεν, τὴν ἐνεργεστάτην αὐτῆς ἐπίγνωσιν ἅμα καὶ ἀπόλαυσιν ἐν τοῖς ἐπουρανίοις ἐσομένην ἀναμένοντες. μετὰ τάδε ἐπινοητέον καὶ τὰς

Matrem Domini noſtri ita alloquitur: Spiritus Sanctus ſupervenier in te, & virtus altiſſimi obumbrabit te, propterea id etiam quod naſcetur ex te ſanctum, Filius Dei vocabitur. Item: Gratia Domini noſtri Jeſu Chriſti, & charitas Dei, & communicatio Spiritus Sancti ſit vobiſcum. Et, Tres ſunt qui teſtificantur in cœlo, Pater, Sermo, & Spiritus Sanctus, atque hi tres unum ſunt. Quibus omnibus locis plene docemur, tres eſſe in unicâ Dei eſſentiâ perſonas. Quamvis autem hæc doctrina omnem humani ingenii captum longe excedat, nihilominus illam ex Dei verbo nunc quidem credimus, expectamus vero perfectam ejus notitiam fruitionemque in cœlis. Notanda ſunt porro etiam

ſingu-

ſingularia trium harum Perſonarum ergà nos officia & effecta. Pater vocatur noſter Creator, virtute ſuâ; Filius, noſter eſt ſervator & Redemtor, ſanguine ſuo; Spiritus autem Sanctus, noſter ſanctificator, ſuâ in cordibus noſtris inhabitatione. Atque hæc Sanctæ Trinitatis doctrina, jam inde ab Apoſtolorum ætate, in hunc uſque diem, in verâ eccleſiâ ſemper aſſerta & conſervata fuit, adverſus Judæos, Mahumetanos atque quoſdam pſeudochriſtianos hæreticoſque, utpote Marcionem, Manetem, Praxeam, Sabellium, Samoſatenum, Arrium, & ſimiles alios, qui jure meritoque ab Orthodoxis Patribus condemnati fuerunt. Idcirco in hoc negotio, lubenter recipimus tria illa ſymbola; Apoſtolorum ſcili-

διωρισμένας τάξεις τε καὶ ἐργασίας τῶν τριῶν ὑποστάσεων, τὰς εἰς ἡμᾶς. ὁ μὲν οὖν πατὴρ ὁ ἡμῶν ποιητὴς ὀνομάζεται, διὰ τῆς αὐτοῦ δυνάμεως, ὁ δὲ υἱὸς ὁ ἡμῶν σωτὴρ, δι' αἵματος αὐτοῦ, τὸ δὲ ἅγιον πνεῦμα τὸ ἁγιάζον ἡμᾶς διὰ τῆς ἐνοικήσεως αὐτοῦ ἐν ταῖς καρδίαις. αὕτη ἡ περὶ τῆς ἁγίας τριάδος διδαχὴ ἀεὶ ἐτηρήθη ἐν τῇ ὀρθοδόξῳ τῶν χριστιανῶν ἐκκλησίᾳ ἐκ τοῦ τῶν ἀποστόλων χρόνου μέχρι τοῦ νῦν, κατὰ Ἰουδαίων, Μαωμεθιστῶν, καὶ τινων ψευδοχριστιανῶν καὶ αἱρετικῶν, ἀμέλει Μαρκίωνος, Μανέος, Πραξέου, Σαβελλίου, Παύλου τοῦ Σαμοσατέως, Ἀρείου, καὶ τῶν ἄλλων τούτοις παραπλησίων, ὧν εὐλόγως οἱ ἅγιοι πατέρες πάλαι κατεψηφίσαντο. διόπερ ἀσμένως ἐν ταύτῃ τῇ πραγματείᾳ ἀποδεχόμεθα τάτε τρία σύμβολα, τὸ τῶν ἀποστόλων δηλαδὴ,

τὸ τε

τὸ τῆς ἐν Νικαίᾳ συνόδου, καὶ τὸ τοῦ ἐν ἁγίοις Ἀθανασίου. ὁμοίως δὲ καὶ τὰ τοῖς ἀρχαίοις πατράσι παρεμφερῆ τοῖς λεχθεῖσι κυρωθέντα.

ι.

Πιστεύομεν Ἰησοῦν Χριστὸν κατὰ τὴν αὐτοῦ θεότητα θεοῦ υἱὸν εἶναι μονογενῆ, πρὸ αἰώνων γεννηθέντα, οὐ ποιηθέντα οὐδὲ κτισθέντα (κτίσμα γὰρ ἂν εἴη) ὁμοούσιον τῷ πατρὶ, συναΐδιον, χαρακτῆρα τῆς ὑποστάσεως καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ, κατὰ πάντα ἴσα αὐτῷ, υἱὸν θεοῦ ἀπ᾽ αἰώνων, ἀλλ᾽ οὐ μόνον τὸ ἀφ᾽ οὗ τῆς ἀνθρωπότητος μετέχηκεν. ὅπως αὗται αἱ μαρτυρίαι ἐκ παραλλήλου τεθεῖσαι δηλοῦσιν· ὁ μὲν οὖν Μωύσης τὸν θεὸν πεποιηκέναι τὸν κόσμον παραδίδωσιν ὁ δὲ Ἰωάννης, πάντα, λέγει, διὰ τοῦ λόγου (θεὸς δὲ ὁ λόγος) ἐγένετο, καὶ ὁ ἀπόστολος θεὸν

cet, Nicænum, & Athanaſii: ſimiliterque ea, quæ à Veteribus Patribus juxta illorum ſymbolorum ſententiam ſtatuta ſunt.

X.

Credimus Jeſum Chriſtum, ſecundum naturam ſuam divinam unigenitum Dei Filium eſſe; ab æterno genitum, non factum, aut creatum (ita enim foret creatura) ſed ejuſdem cum Patre eſſentiæ, coæternum, expreſſam imaginem hypoſtaſeos Patris, & ſplendorē gloriæ ipſius in omnibus illi æqualem. Qui quidem Dei filius eſt, non tantum ab eo tempore quo noſtram naturam aſſumſit, ſed ab omni æternitate, ut hæc teſtimonia inter ſeſe collata nos docent: Moyſes ait, Deum mundum creaſſe; Sanctus vero Joannes, Omnia per Sermonem facta fuiſſe, quem & Deum Vocat: Et Apoſtolus, Deum

ſecula

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ſecula feciſſe per filium ſuum. Item, Deum creaſſe omnia per Jeſum Chriſtum. Neceſſe itaque, eum qui Deus, Sermo, Filius, & Jeſus Chriſtus nominatur, jam tum extitiſſe quum ab ipſo omnia crearentur. Ideoque Propheta Michæas inquit, Exitus ejus ab initio, à diebus æternitatis. Et Apoſtolus, Eſt abſque initio dierum, & abſque fine vitæ. Eſt igitur verus & æternus ille Deus, atque omnipotens, quem invocamus, adoramus, & colimus.

XI.

Credimus præterea & confitemur, Spiritum Sanctum à Patre & Filio ab æterno procedere; non itaque factum, nec creatum, neque etiam genitum, ſed ſolummodo ab utroque procedentem: qui ordine tertia in Trinitate perſona eſt, ejuſdem eſſentiæ, majeſtatis & gloriæ cum Patre

δι' υἱοῦ τοὺς αἰῶνας ποιῆσαι. καὶ αὖθις, θεὸν ἐν τῷ υἱῷ τὰ πάντα κτίσαι γέγραφεν. ἀνάγκη οὖν τὸν ὀνομαζόμενον θεὸν, υἱὸν, Ἰησοῦν Χριστὸν, ὑπάρξαι ἤδη ἀφ' οὗ χρόνου τὰ πάντα δι' αὐτοῦ ἐποιεῖτο. διὸ καὶ ὁ προφήτης Μιχαίας, ἔξοδος αὐτοῦ λέγει, ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. καὶ ὁ ἀπόστολος. μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων. ἄρα οὖν οὗτός ἐστιν ὁ ἀληθινὸς καὶ αἰώνιος θεὸς, ὁ παντοκράτωρ, ὃν προσευχῆς, δεήσεως καὶ λατρείας ἀξιοῦμεν.

ια΄.

Πιστεύομεν προσέτι καὶ ὁμολογοῦμεν ὅτι τὸ ἅγιον πνεῦμα ἀπ' αἰώνων ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορεύεται, οὐ κτιστὸν, ἀλλ' ἐξ ἀμφοτέροιν ἐκπορευτὸν, τὸ τρίτον τὴν τάξιν τῆς Τριάδος πρόσωπον, ὁμοούσιον, καὶ ὁμόδοξον τῷ πατρὶ

καὶ τῷ

καὶ τοῦ υἱοῦ ἀληθινὸς τοῦ ὄντος καὶ αἰώνιος Θεὸς, καθάπερ ἡμᾶς τὰ ἱερὰ γράμματα διδάσκει.

ιβ′.

Πιστεύομεν ὅτι ὁ πατὴρ διὰ τοῦ ἑαυτοῦ λόγου τουτέστι διὰ τοῦ υἱοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν ὃ γέγονεν, ὅταν αὐτῷ εὐδόκησεν, ἐξ οὐδενὸς ἐποίησε, μεταδιδοὺς ἑκάστῳ τὸ εἶναι, τὴν μορφὴν τὸ εἶδος, καὶ διακεκριμένας τάξεις εἰς τὸ τῷ ἑαυτῶν κτίστῃ ὑπουργήσειν. καὶ ὅτι εἰσέτι τὰ πάντα φέρει καὶ κυβερνᾷ τῇ αἰωνίῳ αὐτοῦ προνοίᾳ τε καὶ ἀμετρήτῳ δυνάμει ὅπως τῷ μὲν ἀνθρώπῳ τὰ λοιπὰ ποιήματα, Θεῷ δὲ ὁ ἄνθρωπος δουλεύῃ πρὸς τούτοις καὶ τοὺς ἑαυτοῦ ἀγγέλους ἐποίησεν, ἀγαθοὺς τὴν φύσιν, εἶναι αὐτοὺς λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς ἐκλεκτοὺς. ὧν οἱ μὲν τῆς ὑπεροχῆς ἧς ἐνεκτίσθησαν ἐκπεπτωκό-

Filioque : adeoque verus & æternus Deus , ut nos ſacra Scriptura docet.

XII.

Credimus Patrem per verbum, hoc eſt, Filium ſuum, cœlum & terram, cæteraſque creaturas omnes, quando ipſi viſum fuit, ex nihilo creaſſe: illiſque ſingulis ſuam eſſentiam, formam, & figuram, variaque officia tribuiſſe, ut creatori ſuo inſervirent: eumque etiam nunc eas omnes, pro æternâ ſuâ Providentiâ & immenſâ ſuâ virtute, ſuſtentare & regere: idque, ut illa quidem homini, homo vero Deo ſuo inſerviat. Creavit præterea Angelos, eoſque bonos; ut nuncii ejus eſſent, electis ejus miniſtrarent: quorum alii ab excellentiâ in quâ eos Deus creaverat, in

perdi-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

perditionem æternam prolapſi ſunt, alii, divinâ gratiâ, in primo illo ſtatu ſuo perſtiterunt atque permanſerunt, Diaboli autem & cacodæmones ita corrupti ſunt, ut Dei omniſque boni ſint hoſtes, qui omnibus viribus, Eccleſiæ ac ſingulis ejus membris, veluti prædones, inſidiantur, ut impoſturis ſuis omnia deſtruant perdantque: Ideoque propriâ ſuâ malitiâ æternæ condemnationi adjudicati, horrenda tormenta indies expectant. Ac proinde deteſtamur Sadducæorum errorē, qui Spiritus & Angelos, ullos eſſe negant: itemque & Manichæorum, qui aſſerunt, diabolos ex ſeipſis originem ſuam ducere, & ex propriâ ſuâ naturâ abſque ſui corruptione malos eſſe.

τες αἰωνίῳ φθορᾷ περιέπεσον, οἱ δὲ διὰ χάριτος Θεοῦ ἐκαρτέρουν καὶ τῇ προτέρᾳ τάξει ἐνέμενον, τὰ μὲν οὖν πνεύματα πονηρὰ εἰς τοσοῦτον ἐφθάρη, ὥστε πόλεμον πολεμεῖν ἄσπονδον πρόστε Θεὸν καὶ ἄνθρωπον πάντα φιλόκαλον, τῇ ἐκκλησίᾳ καὶ ἑκάστῳ αὐτῆς μέλει καδδύναμιν λῃστῶν δίκην ἐπιβουλεύοντα, ἵνα τῇ αὐτῶν πανουργίᾳ πάντα φθείρῃ καὶ ὀλέσῃ. οὗ ἕνεκα διὰ τοσαύτην πονηρίαν εἰς αἰώνιον κατάκριμα κατεδικάσθη, καθ' ἡμέραν προσδοκῶντα τὰς φρικτὰς ἑαυτῶν ὀδύνας καὶ βασάνους. βδελυττόμεθα οὖν τὴν τῶν Σαδδουκαίων πλάνην, μὴ λεγόντων ἀγγέλους εἶναι μήτε πνεύματα, καὶ τῶν Μανιχαίων, φλυαρούντων τὸ ἐξ ἑαυτῶν διαβόλους πεφυκέναι, φύσει ἀλλὰ μὴ φθορᾷ πονηροὺς ὄντας.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ιγʹ.

Πιστεύομεν τὸν Θεὸν τὸν πανάγαθον ὅσα ἐποίησε μηδαμῶς τῷ αὐτομάτῳ ἢ τύχῃ ἀφεῖναι. μᾶλλον δὲ οὕτως κυβερνᾶν τὸ πᾶν καὶ διοικεῖν καθ' ἅγιον θέλημα αὐτοῦ, ὡς μηδὲν ἐν τῷ κόσμῳ συμβαίνειν παρὰ τὴν αὐτοῦ διάταξιν. πλὴν οὐκ ἔνοχος ὁ Θεός ἐστι τῇ ἀδικίᾳ, οὐδὲ αἴτιος τῶν πραττομένων κακῶν. ἐπὶ τοσοῦτον γὰρ δύναμις περιέχει καὶ ἀγαθωσύνη ἀπεριλήπτῳ ὥστε καὶ διαβόλου καὶ ἀσεβῶν ἀνθρώπων τὴν αὐτῶν παρανομίαν ἀπεργαζομένων, δεῖ μάλα καὶ δικαίως αὐτοῦ τὸ ἔργον διαπέττεσθαι καὶ συντελεῖσθαι. καὶ τὰ μὲν ἔργα αὐτοῦ ἀνεξιχνίαστα ὄντα τῷ ἀνθρωπίνῳ νοῒ οὐ περιέργως ἀκριβοῦν πειράζομεν, ἀλλὰ σεβαζόμεθα προσκυνοῦντες μετὰ πάσης ταπεινοφροσύνης τε καὶ ἐντροπῆς τὰ ἀγνοούμενα μὲν ἡμῖν ὅσια δὲ καὶ δίκαια κρί-

XIII.

Credimus benignum illum Deum, poſtquam res omnes creaſſet, minime eas caſui aut fortunæ permiſiſſe, ſed ſecundum ſanctam ſuam voluntatem eum in modum regere & gubernare, ut nihil in hoc mundo abſque ipſius ordinatione eveniat: quamvis tamen Deus peccatorum quæ fiunt neque auctor neque reus ſit. Tanta enim tamque incomprehenſibilis ipſius potentia & bonitas, ut opus ſuum optime juſtiſſimeque ordinet & exequatur, etiam cum & diabolus & impii injuſte agunt, Quæ vero ita agit, ut humanum excedant ſenſum, in ea nolumus curioſe, ultra quam fert captus noſter, inquirere. Quinimo omni animi ſubmiſſione, & reverentiâ occulta

nobis

nobis Dei judicia, adoramus: ſufficitque nobis, Chriſti eſſe diſcipulos, ut ea duntaxat diſcamus quæ ipſe verbo ſuo nos docet, ut ne uſquam hoſce limites tranſiliamus. Hæc doctrina ineffabilem nobis adfert conſolationem, dum ea erudimur nihil nobis fortuito, nec ſine optimi Patris noſtri & cœleſtis voluntate evenire poſſe. Qui pro nobis curâ vere paternâ excubat, omneſque ſibi creaturas ita ſubditas habet, ut ne capillus quidem capitis noſtri, qui omnes numerati ſunt, imo nec paſſerculus ullus, humi cadere ſine Patris noſtri voluntate poſſit. In quo quidem toti conquieſcimus; perſuaſi, cum diabolos omneſque inimicos noſtros veluti habenis continere, ut ſine ejus permiſſione & volun-

ματα τοῦ Θεοῦ, στέργοντες τὸ ὑπὸ Χριστοῦ μαθητεύεσθαι, καὶ μανθάνειν ὅσα ἐν ἁγίῳ αὐτοῦ ῥήματι δεδηλωκὼς ὑπάρχει, τούτους τοὺς ὅρους μὴ παραβαίνοντες, αὕτη ἡ διδαχὴ ἀνέκφραστον ἡμῖν παραμυθίαν χορηγεῖ. μανθάνομεν γὰρ ἐντεῦθεν ὡς οὐδὲν ὅλως ἡμῖν συμβαίνει αὐτομάτως, τοὐναντίον δὲ τὰ πάντα ἐκ διατάξεως τοῦ φιλανθρώπου ἡμῶν πατρὸς τοῦ ἐν οὐρανοῖς, ὅσγε ἀγρυπνεῖ ὑπὲρ ἡμῶν μετὰ φροντίδος πατρικῆς, καὶ ὅσα ἐποίησεν οὕτω κατέχει τῇ ἑαυτοῦ δυνάμει ὥστε ἄνευ τοῦ πατρὸς ἡμῶν οὐδὲ τρίχα ἀπὸ τῆς κεφαλῆς ἡμῶν καταῤῥεῦσαι, ἐπειδήπερ πᾶσαι ἠριθμημέναι εἰσὶν, οὐδὲ ὀρνιθάριον πεσεῖν ἐπὶ τὴν γῆν. καὶ τούτοις ἀνενδοιάστως ἐπαναπαυόμεθα πεπεισμένοι ὅτι καὶ διαβόλους καὶ πάντας πολεμίους ἡμῶν χαλιναγωγεῖ, οὐκ ἐξὸν αὐτοῖς ἀδικεῖν ἡμᾶς οὐδένα τρόπον

τρόπον χωρὶς αὐτοῦ εὐδο-
κίας καὶ συγχωρήσεως. Κ'
ἀνταῦθα ἀπολέγομεν τὴν
βδελυρὰν τῶν Ἐπικουρείων
ὑπόληψιν διατεινομένων
τὸν Θεὸν οὐδενὸς πρόνοιαν
ποιοῦντα, ἐᾶν ἀτάκτως τε
καὶ πλημμελῶς τὰ πάντα
γίνεσθαι.

ιδ'.

Πιστεύομεν ὅτι ὁ Θεὸς
τὸν ἄνθρωπον ἐποίησεν ἐκ
πηλοῦ τῆς γῆς καὶ ἐτύπωσεν
αὐτὸν κατ' εἰκόνα αὐτοῦ
ἀγαθὸν, δίκαιον, ἅγιον, καὶ
δυνατὸν ἐν πᾶσιν αὐτο-
θελῶς ἑαυτὸν τῷ Θεοῦ βου-
λήματι ἁρμόζειν. πλὴν
ἔντιμος ὢν οὐκ ἐπέγνω
οὐδὲ τῆς ἑαυτοῦ ὑπεροχῆς
πεφρόντικεν, ἀλλὰ ἑαυτὸν
ἑκουσίως τῇ ἁμαρτίᾳ καὶ
κατάρᾳ ὑπέταξε τῷ τοῦ
διαβόλου ῥήματι προσέ-
χων. τὴν γὰρ ἔλαβεν ἐντο-
λὴν τῆς ζωῆς παραβεβη-
κὼς καὶ δι' ἁμαρτίας τῷ
Θεῷ ἀληθεῖ αὐτοῦ ζωῇ ὁ
λοσχερῶς ἀπέρρωγε, τὴν ὅ-
λην αὐτοῦ φύσιν φθαρεὶς,

tate, nobis nocere nequeant. Eoque rejicimus deteſtandum Epicuræorum errorem, qui dicunt, nihil Deum curare, omniaque fortunæ permittere.

XIV.

Credimus Deum ex terræ pulvere hominem creaſſe, & ad ſuam imaginem & ſimilitudinem feciſſe atque efformaſſe; bonum nempe, juſtum, & ſanctum. Qui ſuo ſeſe arbitrio ad divinam voluntatem per omnia componere poſſet. Verum, cum in honore eſſet, id ipſum non intellexit, nec excellentiam ſuam cognovit, ſed ſeipſum, verbis diaboli aurem præbens, peccato, ac proinde morti & maledictioni, volens ſubjecit. Nam, mandatum vitæ quod acceperat, tranſgreſſus eſt: ſeſeque à Deo, qui vera ipſius erat vita, peccato ſuo, penitus divulſit, totamque naturam ſuam corrupit.

Quo

Quo ſe morti corporeæ & ſpirituali obnoxium reddidit, Atque ita improbus perverſuſque effectus & in viis ſtudiiſque ſuis corruptus præclara illa omnia dona, quæ à Deo acceperat, amiſit: Adeo ut ipſi tantum exigua quædam illorum veſtigia remanſerint: quæ tamen ad reddendum eum inexcuſabilem ſufficiant; quoniam quicquid in nobis eſt lucis, in tenebras verſum eſt, ut ſcriptura nos docet, dicens; Lux in tenebris lucet & tenebræ eam non comprehenderunt. Ubi S. Joannes homines tenebras appellat. Idcirco rejicimus, quæ cunque cum his pugnantia de libero hominis arbitrio docentur; utpote qui tantum ſervus eſt peccati, neque quicquam ex ſe habere poteſt, niſi datum ſit illi

καὶ διὰ τοῦτο θανάτου ἑαυτὸν σωματικοῦ ἅμα καὶ πνευματικοῦ ἔνοχον κατέστησε, καὶ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ ἀσεβὴς, διεστραμμένος καὶ διεφθαρμένος ὢν τὰ περιλαμπῆ αὐτοῦ χαρίσματα ὧν ἠξιώθη παρὰ Θεοῦ ἅπαξ ἁπλῶς ἀποβέβληκε· ὡς οὐδὲν ἄλλο αὐτῷ ὑπόλοιπον εἶναι εἰ μὴ σμικρὰ μὲν τούτων (ὡς εἰπεῖν) ἴχνη, ἱκανὰ δὲ ἀναπολόγητον αὐτὸν καταστῆσαι, ἐπεὶ καὶ τὸ φῶς τὸ ἐν ἡμῖν πρὸς τὸ σκοτεινὸν μετέπεσε, λεγούσης τῆς γραφῆς· τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. ἔνθα ὁ ἅγ. Ἰωάννης σκοτίαν καλεῖ τοὺς ἀνθρώπους· οὗ ἕνεκα ἀπορρίπτομεν ὅλως περὶ τοῦ ἐν ἀνθρώποις αὐτεξουσίου τούτων ἀντίστροφον διδάσκεται), πεπεισμένοι ὅτι τὸ νομιζόμενον ἐν ἀνθρώπῳ ἑκούσιον τῇ ἁμαρτίᾳ δουλεύει μόνον. οὐ γὰρ δύναται ἄνθρωπος λαμβάνειν

οὐδὲν

οὐδὲν ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. ἐπεὶ τίς καυχάσεται ἂν ὡς ἀφ' ἑαυτοῦ ἱκανὸς ὢν ἀποτελεῖν τὶ τῶν ὄντως καλῶν, εἰπόντος τοῦ Χριστοῦ οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν; τίς ἄρα τὴν ἑαυτοῦ βούλησιν προβιβάσει, ἐννοῶν ὡς τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν; τίς περὶ αὐτοῦ τοῦ ἀγχινοίας τολμήσει ῥῆξαι φωνήν, σαινετίζων ὡς ὁ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ; καὶ συνελόντι, τίς ποτε ἕνα τινὰ λογισμὸν προθήσει, τῶν εἰδότων ὅτι οὐχ' ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ: ἄραγε τὸ λεχθὲν τῷ ἀποστόλῳ κύριον ἔστω· ὅτι ὁ Θεὸς ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. οὐδὲ γὰρ

cœlitus. Quis enim jactare audeat, ſe boni quicquam, tanquam ex ſeipſo, præſtare poſſe, quum Jeſus Chriſtus dicat: Nemo venire poteſt ad me, niſi Pater meus qui me miſit traxerit eum? Quis voluntatem ſuam oſtentet, qui intelligat, affectionem carnis inimicitiam eſſe adverſus Deum: Quis de intelligentiâ vel hiſcere audeat, qui ſciat, Hominem animalem non eſſe capacem eorum quæ ſunt Spiritus Dei? In ſumma, quis vel ullam cogitationem in medium proferat, cum intelligat; Nos non eſſe idoneos ex nobis ipſis ad cogitandum quidquam, veluti ex nobis ipſis, ſed quod idonei ſimus ex Deo eſſe? firmum ergo & ratum merito manere oportet dictum illud Apoſtoli. Deum eſſe qui efficit in nobis & ipſum velle, & perficere, pro ſuo beneplacito. Nulla enim

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

enim intelligentia, nec voluntas conformis eſt divinæ niſi quam Chriſtus in illis fuerit operatus. Quod nos docet, quum ait, ſine me nihil poteſtis facere.

XV.

Credimus Adami inobedientia peccatum originis in totum genus humanum diſſuſum fuiſſe: quod eſt totius naturæ corruptio, & vitium hæreditarium: quo & ipſi infantes in matris ſuæ utero polluti ſunt, quodque, veluti radix, omne peccatorum genus in homine producit: ideoque ita fœdum & execrabile eſt coram Deo, ut ad generis humani condemnationem ſufficiat. Neque vero hoc ipſum per baptiſmum etiã penitus aboletur, aut radicitus evellitur, quandoquidem aſſidue veluti aqua ebulliens, ex eâ, tanquam ex infauſtâ ſcaturigine, peccatum emanet: quamvis

οὐδὲ θέλημα οὐδὲν τῷ θείῳ θελήματι ἁρμόζει μὴ ὑπὸ τοῦ Χριστοῦ ἐν τῷ ἀνθρώπῳ ἀπειργασμένον. ὡς αὐτὸς ἔφη· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

ιε΄.

Πιστεύομεν ὅτι διὰ παρακοῆς τοῦ Ἀδὰμ τὸ ἔμφυτον φαῦλον διῆλθεν εἰς πᾶσαν γενεὰν τῶν ἀνθρώπων, διαφθορὰ ὂν ὅλης τῆς φύσεως, ἤτοι κακία κληρονομικὴ ᾗ καὶ τὰ βρέφη ἐν τῇ κοιλίᾳ τῆς μητρὸς ἐμιάνθη βλαστάνουσα ἐν ἀνθρώπῳ ὥσπερ ῥίζα παντοῖα ἁμαρτήματα· οὗ ἕνεκα οὕτω δυσειδὴς καὶ βδελυρά ἐστιν ὥστε ἱκανὴν εἶναι πρὸς τὸ καταγινώσκειν κατάκρισιν ὅλῳ τῷ ἀνθρωπίνῳ γένει. οὔτε δὴ διὰ βαπτίσματος ἀφανίζεται εἰς τὸ παράπαν ἐκριζουμένη. ἀλλὰ συνεχέως, ὡς ἀπό τινος παναθλίας πηγῆς ῥύακας ἀναβρύει. πλὴν ὅτι τοῖς

τοῖς υἱοῖς τοῦ Θεοῦ εἰς κατά-
κρισιν οὐ λογίζεται, ἀλλὰ
δι' αὐτοῦ τὴν χάριν καὶ εὐ-
σπλαγχνίαν ἀφίεται. οὐ
μὴν ἵνα ἐν αὐτῇ ῥαθυ-
μῶσιν, ἀλλ' ἵνα τὸ ταύτης
αἰσθάνεσθαι τῆς παραφθο-
ρᾶς συχνότερον τοὺς πι-
στεύοντας στενόῃ, τὴν ἐπιθυ-
μίαν ἔχοντας εἰς τὸ ῥυσθῆ-
ναι ἐκ τοῦ σώματος τοῦ θα-
νάτου τούτου. Κἀνταῦθα
ἀποβαλλόμεθα τὴν τῶν Πε-
λαγιανῶν πλάνην δια-
τεινομένων ταύτην τὴν μο-
χθηρίαν οὐκ ἄλλοθεν ἢ ἐκ
τινος μιμήσεως γίγνεσθαι.

ιϛʹ.

Πιστεύομεν ὅτι Θεὸς
πεπτωκυίας ὧδε καὶ παρα-
φθαρείσης τῆς γενεᾶς Ἀ-
δὰμ διὰ πλημμελείας
τοῦ πρωτοπλάστου, φανε-
ρὸν ἐποίησεν ὁποῖος ἦν,
ἀποδείξας ἑαυτὸν ἐλεή-
μονα ἅμα καὶ δίκαιον. ἐ-
λεήμονα μὲν ἐν τῷ ῥύε-
σθαι αὐτὸν ἐκ ταύτης τῆς ἀπωλείας ὅσους ἐν
αἰωνίῳ αὐτοῦ καὶ ἀμεταβλήτῳ βουλῇ τῇ αὐτοῦ

Dei filiis in condemnationem id non imputetur, verum gratiâ & miſericordiâ ejus condonetur. Non tamen ut ſecure peccato indormiant, ſed ut corruptionis hujus ſenſus crebriores gemitus in fidelibus excitet, qui deſiderant ab hoc corpore mortis liberari. Quapropter rejicimus Pelagianorum errorem, qui aſſerunt hoc peccatum tantum ex imitatione eſſe.

XVI.

Credimus, poſteaquam tota Adami progenies ſic in perditionem & exitium, primi hominis culpâ, præcipitata fuit, Deum ſe talem demonſtraſſe qualis eſt; nimirum miſericordem & juſtum. Miſericordem quidem, eos ab hâc perditione liberando & ſervando, quos æterno & immutabili ſuo conſilio, pro

gratuitâ ſuâ bonitate, in Jeſu Chriſto Domino noſtro, elegit & ſelegit, abſque ullo operum eorum reſpectu: Juſtum vero, reliquos in lapſu & perditione, in quam ſeſe præcipitaverant, relinquendo.

XVII.

Credimus benigniſſimum illum Deum noſtrum cum cerneret, hominem ſeſe ita in mortem tam corporalem quam Spiritualem præcipitem dediſſe, prorſuſque miſerum effectum; ipſummet, pro admirabili ſuâ ſapientiâ, & bonitate, eum, cum ab ipſo totus tremebundus fugeret, quæſiviſſe ac conſolatum eſſe; promiſſione illi factâ de donando Filio ſuo, ex muliere naſcituro, qui ſerpentis caput contereret atque illum beatum redderet.

XVIII.

Confitemur itaque, Deum promiſſionem veteribus Patribus, per

χάριτι μόνον χωρὶς λόγου ἔργων ἐν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ ἐξελέξατο· δίκαιον δὲ ἐν τῷ ἐᾶν αὐτὸν τοὺς λοιποὺς ἐν τῇ αὐτῶν πτώσει, καὶ ἀπωλείᾳ ἧς ἑαυτοῖς αἴτιοί εἰσι.

ιζ′.

Πιστεύομεν ὡς ὁ πανάγαθος ἡμῶν Θεὸς διὰ θαυμασιωτάτης ἑαυτοῦ σοφίας καὶ χρηστότητος θεωρῶν τὸν ἄνθρωπον ὡς εἰς σωματικὸν ἅμα καὶ πνευματικὸν θάνατον ἑαυτὸν κατεκρήμνισε καὶ ὁλοσχερεῖ ἀτυχίᾳ περιέπεσεν, ἐσπούδασε ζητῶν αὐτὸν μετὰ τρόμου φεύγοντα, καὶ παρεκάλεσεν αὐτὸν ἐπαγγελλόμενος δώσειν αὐτῷ τὸν ἴδιον υἱὸν γεννηθησόμενον ἐκ γυναικὸς, ἵνα σώσῃ μὲν αὐτὸν, τερήσῃ δὲ τοῦ ὄφιος τὴν κεφαλήν.

ιη′.

Προσομολογοῦμεν οὖν ὡς ὁ Θεὸς τὰς ἐπαγγελίας ἃς προεπηγγείλατο τοῖς πατρά-

πατράσι διὰ στόματος τῶν ἁγίων αὐτοῦ προφητῶν, ἐκύρωσεν, ἐξαποστέλλων τὸν υἱὸν αὐτοῦ τὸν ἴδιον, ἀΐδιον καὶ μονογενῆ, ὅτε ἦλθεν ὁ ὡρισμένος ὑφ᾽ ἑαυτοῦ χρόνος, ὃς μορφὴν δούλου ἔλαβε καὶ ἐν ὁμοιώματι ἀνθρώπου γέγονεν, ἐπιλαβόμενος τῇ ὄντως ἀληθινῆς ἀνθρώπου φύσεως αὐτοῖς αὐτῆς ἀσθενείαις χωρὶς ἁμαρτίας, συλληφθεὶς ἐν κοιλίᾳ τῆς μακαρίας παρθένου Μαριὰμ ἐκ δυνάμεως πνεύματος ἁγίου, ἀλλὰ μὴ ἐξ ἀνδρικῆς συνουσίας. οὐ δὲ μόνον τὴν ἀνθρωπίνην εἴληφε φύσιν τὸ κατὰ σῶμα, ἀλλὰ καὶ ἀληθινὴν ἀνθρώπου ψυχήν, ὅπως ᾖ γνήσιος ἄνθρωπος. ἐπεὶ γὰρ καὶ ἡ ψυχὴ τῇ πανωλεθρίᾳ περιέπεσεν ἀλλ᾽ οὐ μόνον τὸ σῶμα, σαφῶς ἐπάναγκες ἦν τὸν ἄμφω μέλλοντα σώζειν καὶ ἀμφοτέροιν ἐπιλαβέσθαι. ἄρα γε ἡμεῖς κατὰ τῆς τῶν ἀναβαπτιστῶν αἱρέσεως ἀρνούντων

os ſanctorum Prophetarum factam, impleviſſe, quum conſtituto tempore, filium illum ſuum proprium, unigenitum, & æternum, in mundum miſit: qui formâ ſervi acceptâ, ſimilis hominibus factus eſt, & veram naturam humanam cum omnibus ipſius infirmitatibus, excepto peccato, vere aſſumſit, conceptus in utero beatæ virginis Mariæ, idque virtute Spiritus Sancti abſque viri operâ. Quin & non ſolum naturam humanam quoad corpus aſſumſit, ſed & veram hominis animam, ut verus eſſet homo. Nam cum anima non minus quam corpus perdita eſſet, neceſſe fuit illum utrumque aſſumere, ut utrumque ſimul ſervaret. Quare profitemur contra Anabaptiſtarum hæreſin, negantium Chri-

ſtum carnem humanam ex matre ſuâ aſſumſiſſe, Chriſtum carnis & ſanguinis puerorum participem factum, fructum eſſe lumborum Davidis ſecundum carnem, factum eſſe ex ſemine Davidis ſecundum carnem, fructum uteri virginis Mariæ; factum ex muliere, germen Davidis, ſurculum ex radice Jeſſe, ortum è Judâ, atque è Judæis ſecundum carnem progenitum, ex ſemine Abrahami, ſiquidem ſemen Abrahæ aſſumſit, fratribus ſuis per omnia factus ſimilis, excepto peccato. Adeo ut hoc modo revera ſit noſter Emanuel, id eſt, Deus nobiſcum.

XIX.

Credimus hâc conceptione perſonam Filii unitam atque conjunctam fuiſſe inſeparabiliter cum humanâ naturâ. Ita ut non ſint

ἀνθρωπίνῃ σαρκὶ τὸν Χριστὸν κοινωνεῖν ἀνθομολογούμεθα· κεκοινωνηκέναι τὸν Χριστὸν σαρκὸς τῶν παιδίων, καρπὸν ὄντα τῆς ὀσφύος Δαβὶδ τὸ κατὰ σάρκα, γενόμενον ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα, τὸν καρπὸν τῆς κοιλίας Μαριὰμ, γενόμενον ἐκ γυναικὸς, βλαστὸν τοῦ Δαβὶδ, ῥάβδον ἐκ τῆς ῥίζης Ἰεσσαὶ, ὃς ἐξ Ἰούδα ἀνατέταλκεν, ἐξ Ἰουδαίων τὸ κατὰ σάρκα, ἐκ σπέρματος Ἀβραὰμ, σπέρματος γὰρ Ἀβραὰμ ἐπελάβετο, καὶ κατὰ πάντα τοῖς ἀδελφοῖς ὡμοιώθη χωρὶς ἁμαρτίας. ὃν τρόπον ἐστὶν ὁ ἡμέτερος Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός.

ιθ'.

Πιστεύομεν ὅτι διὰ τῆσδε τῆς συλλήψεως ἡ τοῦ υἱοῦ ὑπόστασις ἀδιαιρέτως τῇ ἀνθρωπίνῃ φύσει ἡνώθη καὶ ἐζεύχθη, ὥστε μηδαμῶς εἶναι μὲν οὔτε δύο

δύο υἱοὺς Θεοῦ οὔτε δύο ὑποστάσεις, δύο δὲ φύσεις ἐν μιᾷ ὑποστάσει ἡνωμένας, ἀντεχομένης μέντοι ἑκατέρας φύσεως τῶν οἰκείων ἰδιωμάτων. ὃν τρόπον οὖν τὸ θεῖον ἄκτιστον εἰς τὸ διηνεκὲς ὂν διατελεῖ, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχον, πληροῦν τὸν οὐρανὸν καὶ τὴν γῆν, οὕτω μηδὲ τὸ ἀνθρώπινον ἀπέβαλε τὰ οἰκεῖα, ἀλλὰ θεόκτιστόν ἐστι, ἀρχὴν ἡμερῶν ἔχον, ὡρισμένον καὶ περίγραπτον τὴν φύσιν, καὶ ὥστε ὅλον εἰπεῖν, ἀντεχόμενον ὅσων ἀληθινὸν σῶμα κοινωνεῖ διαμένει. οὐ γὰρ δι' ἀναστάσεως αὐτοῦ μεταδοὺς τῇ φύσει τὴν ἀθανασίαν, ὅμως καὶ τοῦ ἀνθρωπίνου τὸ ἀληθὲς μεταβέβληκεν, ἐπεὶ καὶ ἡμῶν ἡ ἀνάστασις καὶ σωτηρία ἐν τῇ κυριακοῦ σώματος ἀληθείᾳ κρέμαται. τοιγαροῦν αἱ δύο φύσεις οὕτω ἡνωμέναι, εἰσὶ μίαν ὑπόστασιν ἀποτελούμεναι ὡς μήτε δι' αὐτοῦ τὴν τελευ-

duo filii Dei, nec duæ Perſonæ, ſed duæ naturæ in unam Perſonam unitæ, quarum utraque proprietates ſuas diſtinctas retineat. Adeo, ut ſicut natura divina ſemper increata permanſit abſque initio dierum & vitæ fine, cœlum & terram implens: ſic humana natura proprietates ſuas non amiſerit, ſed creatura remanſerit; initium dierum & naturam finitam habens, omniaque quæ vero corpori conveniunt retinens. Et quamvis eidem naturæ, immortalitatem reſurrectione ſuâ dederit, nihilominus veritatem ejus non commutavit; ſiquidem ſalus & reſurrectio noſtra, etiam à veritate ejus corporis depēdet. Cæterum naturæ iſtæ duæ, in perſonâ unâ ita ſunt unitæ, ut ne morte quidem ipſius ſepa-

ratæ fuerint. Quod igitur Patri ſuo moriens commendavit, is verus erat ſpiritus humanus, è corpore ejus egrediens; at interim, divina natura ſemper humanæ unita permanſit, etiam cum in ſepulchro jaceret: neque Deitas tum deſinebat eſſe in ipſo (ſicut & in ipſo erat cum infans eſſet) etſi ad exiguum tempus ſeſe ita non exereret. Quapropter confitemur ipſum verum Deum, & verum hominem eſſe: verum quidem Deum, ut mortem ſuâ potentiâ vinceret: verum autem hominem, ut ſecundum carnem ſuam infirmam, pro nobis mori poſſet.

τὴν διαιρεθῆναι. ὃ γὰρ εἰς χεῖρας πατρὸς παρατέθεικεν ὄντως ἦν τὸ ἀνθρώπινον πνεῦμα ἐκ σώματος ἀφεθὲν, ζευχθέντος μεταξὺ ἀδιαλείπτως τοῦ θείου τῇ σαρκὶ ἄλλως τε καὶ ὅταν εἰς τὸν τάφον ἐτέθειτο. καὶ ἡ μὲν θειότης οὐκ ἐπαύσατο αὐτῷ ἐνυπάρχουσα ὡς καὶ ἐκ βρεφότητος ἡλικίας ἐνυπῆρχεν, ἑαυτῆς δὲ δι' ὀλίγου ὡσεὶ ἀπέκρυψε τὴν ἐνέργειαν. διὰ ταῦτα ὁμολογοῦμεν αὐτὸν ἀληθῆ μὲν εἶναι Θεὸν, ἀληθῆ δὲ καὶ ἄνθρωπον. Θεὸν μὲν ἵνα τῇ αὐτοῦ δυνάμει τὸν θάνατον νικήσῃ, ἄνθρωπον δὲ ἵνα οἷός τε ᾖ ἀποθανεῖν ὑπὲρ ἡμῶν ἐν τῇ σαρκὶ τῆς ἀσθενείας αὐτοῦ.

XX.

Credimus, Deum, qui perfectiſſimè miſericors & juſtus eſt, filium ſuum miſiſſe, ut naturam eam, in quâ

K.

Πιστεύομεν τὸν Θεὸν πλούσιον ὄντα ἐν ἐλέει ἅμα καὶ δικαιοσύνῃ πέμψαι ἑαυτοῦ τὸν υἱὸν ἵνα προσλάβῃ τὴν φύσιν τὴν προημαρτηκυῖαν, ἴσων ἐν ἐκείνῃ

ἐκείνῃ τιμωρίαν τῆς παρανομίας ἀντίῤῥοπον διὰ τοῦ πάθους αὐτοῦ καὶ τοῦ βίου τελευτῆς· καὶ τὸ μὲν ἀπότομον ἑαυτοῦ ἐν τῷ ἑαυτοῦ υἱῷ ἀπέδειξεν ὁ Θεὸς φορτίζων αὐτὸν φορτίον δυσβάστακτον τῶν ἡμετέρων παραπτωμάτων. τοὔμπαλιν δὲ ἐξέχυσεν ἑαυτοῦ τὸ εὔσπλαγχνον καὶ φιλάνθρωπον ἐφ᾽ ἡμᾶς ὀφειλέτας ὄντας καὶ ἐνόχους τῷ κατακρίματι, δεδωκὼς ὑπὲρ ἡμῶν τὸν αὐτοῦ μονογενῆ εἰς θάνατον διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, καὶ ἐγείρας αὐτὸν διὰ τὴν δικαίωσιν ἡμῶν, εἰς τὸ ἔχειν ἡμᾶς δι᾽ αὐτοῦ ἀθανασίαν καὶ ζωὴν αἰώνιον.

κα΄.

Πιστεύομεν ὅτι Ἰησοῦς ὁ Χριστὸς μετὰ ὁρκωμοσίας ἀρχιερεύς ἐστιν εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ὃς ὑπὲρ ἡμῶν τῷ πατρὶ ὑπήντησε πρὸς τὴν δίκην εἰς τὸ ἐξιλάσκε-

inobedientia perpetrata erat, aſſumeret, qui in eâ ipſâ ſatisfaceret, pœnas peccatis debitas acerbiſſimâ paſſione ſuâ & morte expiaret. Deus igitur juſtitiam ſuam erga filium ſuum, quem peccatis noſtris onerarat, declaravit. & bonitatem atque miſericordiam ſuam in nos reos & condemnatione dignos effudit, dum filium ſuum ex ſummâ dilectione pro nobis in mortem dedit. & è mortuis excitavit ad noſtri juſtificationem. ut immortalitatem & vitam æternam per eum conſequeremur.

XXI.

Credimus Jeſum Chriſtum ſummum ſacerdotem eſſe in æternum jurejurando conſtitutum, ſecundum ordinem Melchiſedech. Qui ſe noſtro nomine coram patre ſtitit, ad iram ipſius plenâ ſatis-

 factione

factione ſuâ placandum. offerens ſeipſum in ligno crucis, precioſumque ſanguinem ſuum ad purgationem peccatorum noſtrorum effundens, prout Prophetæ prædixerant. Scriptum enim eſt, Caſtigationem pacis noſtræ Dei filio impoſitam, & vibicibus ejus nos ſanatos eſſe: ipſum tanquam ovem ad mortem ductum inter ſceleratos reputatum, & à Pontio Pilato, tanquam maleficum condemnatum: etſi illum prius innocentem pronunciaſſet. Quæ ergo non rapuerat perſolvit, & juſtus pro injuſtis, tum in corpore, tum in animâ ſuâ paſſus eſt, ita ut horribiles illas pœnas peccatis noſtris debitas ſentiens, grumos quaſi ſanguinis in terram defluentes ſudaverit, tandemque exclamaverit: Deus mi, Deus mi, quare me de-

σθαι αὐτοῦ τὴν ὀργὴν ὁλοσχερεῖ ἀπολῦσαι, θύων ἑαυτὸν ἐπὶ τὸ θυσιαστήριον τοῦ σταυροῦ, καὶ ἐκχέων τὸ τίμιον ἑαυτοῦ αἷμα εἰς καθαρισμὸν τῶν ἡμετέρων ἁμαρτιῶν. καθὼς προεφήτευσαν οἱ προφῆται. γέγραπται γὰρ ὅτι παιδεία εἰρήνης ἡμῶν ἐφ᾽ υἱὸν τοῦ Θεοῦ, καὶ ὅτι τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν· ὅτι ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ μετὰ ἀνόμων, οἱονεὶ συμπαρανενομηκὼς ἐλογίσθη. καταδικασθεὶς ἅμα καὶ δικαιωθεὶς ὑπὸ Πιλάτου. σαφῶς οὖν ἃ οὐχ ἥρπασε τότε ἀπετίννυε, καὶ ἔπαθε δίκαιος ὑπὲρ ἀδίκων, ἔν τε τῷ σώματι καὶ ἐν τῇ ψυχῇ. ὥστε αἰσθανόμενον αὐτὸν τῆς φοβερᾶς κολάσεως ἧς ἡμεῖς ἄξιοι ἦμεν, ὡσεὶ θρόμβους αἵματος ἱδρῶσαι, καὶ φωνῆσαι φωνῇ μεγάλῃ· ὁ Θεός, ὁ Θεός μου ἵνα τί ἐγκατέλιπές

λιπές με; ἔπαθε δὲ ταῦτα πάντα εἰς ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν. διὸ λέγομεν σὺν τῷ ἐν ἁγίοις Παύλῳ, ὅτι οὐ κρίνομεν τοῦ εἰδέναι τι εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον. ἡγούμεθα ταῦτα πάντα σκύβαλα εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ τοῦ κυρίου ἡμῶν· ἐν τοῖς τραύμασιν αὐτοῦ παντοίαν παράκλησιν εὑρίσκοντες, καὶ μὴ δεόμενοι τοῦ μέσον ἄλλο ζητῆσαι ἤτοι πλάσαι τῆς ἡμῶν πρὸς Θεὸν καταλλαγῆς παρεκτὸς μιᾶς προσφορᾶς ᾗ τετελειοῦνται εἰς τὸ διηνεκὲς οἱ ἁγιαζόμενοι. τοῦτο χάριν καὶ δι' ἀγγέλου ὠνομάσθη Ἰησοῦς τουτέστι σωτὴρ, αὐτὸς γὰρ ἔμελλε σώσειν τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

κβ'.

Πιστεύομεν ὅτι πρὸς [illegible] τοῦδε τοῦ μυστηρίου

reliquiſti? Atque hæc omnia pro remiſſione peccatorum noſtrorum pertulit. Quamobrem merito cum Apoſtolo Paulo dicimus; Nos nihil aliud ſcire quam Chriſtum eumque crucifixum, Quin omnia pro ſtercoribus ducimus, propter excellentiam cognitionis Jeſu Chriſti Domini noſtri: In cujus vulneribus omnem conſolationem reperimus. Neque neceſſe habemus ut rationes ullas alias quæramus aut excogitemus, quibus Deo reconciliemur, præter hanc ſolam & unicam oblationem ſemel peractam, quâ fideles in perpetuum conſummati ſunt. Atque hæc ipſa cauſa eſt, quod ab angelo Dei, Jeſus, id eſt Servator, vocatus ſit, quod populum ſuum à peccatis ejus ſervaturus eſſet.

XXII.

Credimus, ut hujus magni myſterii veram

cognitionem adipiſcamur, Spiritum Sanctum veram in cordibus noſtris fidem accendere: quæ Jeſum Chriſtum cum omnibus ſuis meritis amplectitur, eumque ſuum ac ſibi proprium efficit, nihilque amplius extra eum quærit. Neceſſarium eſt enim, aut omnia quæ ad ſalutem noſtram requiruntur in Jeſu Chriſto non eſſe, aut ſi in eo ſunt omnia, tum eum, qui fide Jeſum Chriſtum poſſidet, totam ſalutem habere. Aſſerere itaque, Jeſum Chriſtum minime ſufficere, ſed aliis quoque præter illum opus eſſe, horrenda omnino in Deum blaſphemia eſt. Nam inde ſequeretur Jeſum Chriſtum ex parte tantum ſervatorem eſſe. Merito igitur cū Paulo dicimus, Nos ſolâ fide juſtificari, ſeu, fide abſque operibus. Interim, proprie loquendo, nequaquam intelligimus,

τοῦ μεγάλου ἐπίγνωσιν, τὸ ταῖς ἡμῶν καρδίαις ἐνοικοῦν ἅγιον πνεῦμα δίδωσιν ἡμῖν τὴν πίστιν τὴν ἀληθινὴν, τὴν τοῦ Ἰησοῦ Χριστοῦ καὶ τελείας αὐτοῦ ἀποτίσεως ἁπτομένην, ἐξιδιοποιουμένην αὐτὸν ἡμῖν, καὶ ἔξω αὐτοῦ οὐδὲν διώκουσαν. δυοῖν γὰρ θάτερον ἀνάγκη, ἢ τῷ Ἰησοῦ Χριστῷ οὐ πάντα τὰ πρὸς τὴν ἡμῶν σωτηρίαν ἀναγκαῖα ἐνυπάρχειν, ἢ ἐνόντων αὐτῷ τῶν πάντων, τοὺς τὸν σωτῆρα τόνδε ἀληθινῇ πίστει κεκτημένους τῆς παντελοῦς ἐν αὐτῷ τυγχάνειν σωτηρίας. τὸ δὲ, οὐχ ἱκανὸν εἶναι τὸν Χριστὸν ἀλλὰ πλειόνων προσδεῖν ἡμῖν, ἔκτοπος λίαν βλασφημία, ἡμισεύει γὰρ, ὡς εἰπεῖν, τὸν σωτῆρα. διόπερ καλῶς μετὰ Παύλου λογιζόμεθα, πίστει μόνον δικαιοῦσθαι ἡμᾶς, ἤτοι πίστει χωρὶς ἔργων. οὐ μέντοι ὑπολαμβάνοντες τὸ δικαιοῦν ἡμᾶς

Ac proinde merito judicii iſtius memoria iniquis & ſceleratis horribilis & formidabilis eſt, bonis vero & electis ſumme exoptanda, & immenſæ conſolationis plena: quoniam totalis ipſorum redemptio tunc plane perficietur; laborumque iſtic & dolorum ſuorum quos pertulerunt fructus percipient. Innocentia ipſorum aperte ab omnibus agnoſcetur, & horrendam quam Deus de improbis ſumet, qui tyrannice exercuerunt eos, afflixerunt, & excruciarunt in hoc mundo, vindictam conſpicient. Qui quidem proprio conſcientiæ ſuæ teſtimonio convicti, immortales quidem reddentur, ita tamen ut in igne æterno, qui diabolo & angelis ejus paratus eſt, crucientur. Contra vero fideles & Electi coronâ gloriæ &

ὥστε εἰκότως τῆσδε τῆς κρίσεως τὴν ἀνάμνησιν τοῖς μὲν ἀνόμοις καὶ πονηροῖς φρικτὴν εἶναι καὶ φοβεράν, ἀγαθοῖς δὲ καὶ ἐκλεκτοῖς ὡς μάλιστα εὐκτὴν καὶ παρακλητικήν, διότι τότε ἡ αὐτῶν ἀπολύτρωσις κατὰ πάντα ἐπιτελὴς γενήσεται, καὶ ἡδίστους τῶν πόνων καὶ κόπων ὧν ἐν τῷ νῦν βίῳ ἀνέμειναν καρποὺς ἀπολήψονται· γνωρισθήσεται γὰρ τοῖς πᾶσιν ἡ δικαιοσύνη αὐτῶν, καὶ αὐτοὶ θεωρήσουσι τὴν τιμωρίαν τῶν ἐν τῷ νῦν αἰῶνι αἰκισαμένων αὐτοὺς καὶ ὠμότατα αὐτοῖς προσενεχθέντων, οἱ ὑπὸ τῆς ἑαυτῶν συνειδήσεως καταμαρτυρούμενοι ἄφθαρτοι μὲν κατασταθήσονται, πλὴν ἵνα ἐν τῷ πυρὶ τῷ αἰωνίῳ ἡτοιμασμένῳ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ βασανίζωνται εἰς τὸ διηνεκές. Τοὐναντίον, οἱ πιστοὶ καὶ ἐκλεκτοὶ τῷ τῆς δόξης καὶ τιμῆς

τιμῆς στεφανωθήσονται στε-
φάνῳ. ὁμολογήσει δὲ ἐν
αὐτοῖς ὁ Θεοῦ υἱὸς ἔμπρο-
σθεν τοῦ πατρὸς αὐτοῦ καὶ
ἐκλεκτῶν ἀγγέλων, καὶ
ἐξαλείψει πᾶν δάκρυον
ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.
τότε ἡ ὁδὸς αὐτῶν, ἣν
λέγουσιν αἵρεσιν καὶ ἀσέ-
βειαν πολλοὶ ἐν τῷ παρ-
αυτίκα κριταὶ καὶ ἄρχον-
τες, ἡ τοῦ μονογενοῦς ἐκ
πατρὸς ὁδὸς εἶναι φανε-
ρωθήσεται. ὃς καὶ τοσαύτην
αὐτοῖς δόξαν ἀποδώσει
δωρεὰν ὅση ἐπὶ καρδίαν
ἀνθρώπου οὐκ ἀνέβη. Ταύ-
της μὲν οὖν τῆς ἡμέρας τῆς
μεγάλης ἐπιθυμίᾳ ἐπι-
θυμοῦμεν, ἵνα τῶν τοῦ Θεοῦ
ἐπαγγελμάτων ἐν τῷ κυ-
ρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ
τελείως ἀπολαύωμεν.
Ἀμήν.

Ἀποκάλ. κβ'. κ'.

Ναὶ ἔρχου Κύριε Ἰησοῦ.

honore coronabuntur, filiuſque Dei eorum nomina coram Deo Patre & electis angelis profitebitur. Abſtergentur omnes lachrymæ ab oculis eorum, ipſorumque cauſa, quæ in præſentiâ à Judicibus & Magiſtratibus quamplurimis veluti hæretica & impia condemnatur, cauſa filii Dei eſſe tum agnoſcetur. Ac pro gratuitâ remuneratione Dominus illos in tantæ gloriæ poſſeſſionem mittet, quantam nemo hominum animo concipere poſſit. Magnum ergo illum diem maximo deſiderio expectamus, ut promiſſis Dei in Chriſto Domino noſtro plene perfruamur. *Amen.*

Apocal. 22. 20.

Etiam veni Domine Ieſu.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ΕΚΚΛΗΣΙΩΝ τῆς ΒΕΛΓΙΚΗΣ

ΚΑΤΗΧΗΣΙΣ

τῆς Χριστιανικῆς Θρησκείας.

ECCLESIARUM BELGICARUM

CATECHESIS

Religionis Chriſtianæ.

DOMINICA I.

1. Τίς ἐστιν ἡ μόνη σου παραμυθία, ἔν τε τῷ ζῆν, καὶ ἐν τῷ θανεῖν;

Ὅτι τῷ τε σώματι καὶ τῇ ψυχῇ, ἔν τε τῷ ζῆν καὶ ἐν τῷ θανεῖν, οὐκ ἐμαυτοῦ, ἀλλὰ τοῦ πιστοτάτου σωτῆρός μου, τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἰδιόσειμι ὃς ὑπὲρ πασῶν τῶν ἁμαρτιῶν μου ἱκανὸν λύτρον, τὸ τίμιον αὐτοῦ αἷμα ἐκχύσας, με

1. *Quæ eſt unica tua conſolatio in vitâ & in morte?*

Quod animo pariter & corpore, ſive vivam, ſive moriar, non meus, ſed fidiſſimi Domini & Servatoris mei Jeſu Chriſti ſum proprius, qui pretioſo ſanguine ſuo pro omnibus peccatis meis pleniſſimâ ſolutione factâ, me ab

omni poteſtate diaboli liberavit, meque ita conſervat, ut ſine voluntate Patris mei cœleſtis, ne pilus quidem de meo capite poſſit cadere: imo vero etiam omnia ſaluti meæ ſervire oporteat. Quocirca me quoque ſuo Spiritu de vitâ æternâ certum facit, utque ipſi deinceps vivam, promptum ac paratum reddit.

ἀπὸ πάσης τῆς τοῦ διαβόλου ἐξουσίας ἐῤῥύσατο· καὶ οὕτω φυλάττων διατελεῖ, ὥς τε ἄνευ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, οὐδὲ τρίχα ἀπὸ τῆς κεφαλῆς μου καταῤῥεῖν, ἀλλὰ πάντα μοι εἰς σωτηρίαν συνεργεῖν· διόπερ ἐμὲ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι περὶ τῆς αἰωνίου ζωῆς πληροφορεῖ, καὶ πρὸς τὸ αὐτῷ τοῦ λοιποῦ ζῆν, πρόθυμον καὶ ἕτοιμον ἀπεργάζεται.

2. *Quot ſunt tibi ſcitu neceſſaria, ut illâ conſolatione fruens, beate vivas & moriaris?*

2. Πόσα ἐστὶ γνῶναί σοι ἀναγκαῖα, ἵνα ἐν ταύτῃ τῇ παραμυθίᾳ μακαρίως ζῆν τε καὶ ἀποθανεῖν οἷός τε γένῃ;

Tria. Primum, quanta ſit peccati mei & miſeriæ meæ magnitudo. Alterum, quo pacto ab omni peccato & miſeriâ liberer. Tertium, quam gratiam Deo pro eâ liberatione debeam.

Τρία. τὸ πρῶτον, πόσον ἐστὶ τῆς ἁμαρτίας μου καὶ ταλαιπωρίας τὸ μέγεθος. τὸ δεύτερον, πῶς ἀπὸ πάσης ἁμαρτίας τε καὶ ταλαιπωρίας ἀπολυτροῦμαι. τὸ τρίτον, τίνας τῷ Θεῷ ἀντὶ ταύτης τῆς ἀπολυτρώσεως ὀφείλω χάριτας.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Τὸ πρῶτον τμῆμα.

Περὶ τῆς τοῦ ἀνθρώπου ταλαιπωρίας.

3. Πόθεν γνωρίζεις τὴν ταλαιπωρίαν σου;

Ἐκ τοῦ Θείου νόμου.

4. Τί οὖν ἀπαιτεῖ παρ' ἡμῶν ὁ τοῦ Θεοῦ νόμος;

Τοῦτο κεφαλαιωδῶς ἡμᾶς διδάσκει Χριστὸς παρὰ Ματθαίῳ, ἐν τῷ κβ' κεφαλαίῳ, ταύταις ταῖς λέξεσιν· Ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

5. Ἆρ' οὖν ταῦτα τελείως διατηρεῖν οἷός τε εἶ;

Οὐδαμῶς· καὶ γὰρ φύσει

Prima Pars,

DE HOMINIS Miſeriâ.

DOM. II.

3. *Unde tuam miſeriam cognoſcis?*

Ex lege Dei.

4. *Quid à nobis poſtulat lex Dei?*

Id docet nos Chriſtus ſummatim, Matt. 22 *Diliges Dominum Deum tuum, ex toto corde tuo, ex totâ animâ tuâ, ex totâ cogitatione tuâ, & ex omnibus viribus tuis.* Iſtud eſt primum & maximum mandatum. Secundum autem ſimile eſt huic: *Diliges proximum tuum ſicut teipſum.* Ab iſtis duobus mandatis tota Lex & Prophetæ pendent.

5. *Num hæc omnia perfecte ſervare potes?*

Minime. Natura

enim propenſus ſum ad odium Dei & proximi.

DOM. III.

6. *Num ergo Deus hominem ita pravum & perverſum condidit?*

Nequaquam: Imo vero bonum & ad imaginem ſui condidit eum, hoc eſt, verâ juſtitiâ & ſanctitate præditum, ut Deum creatorem ſuum rectè cognoſceret, ex animo diligeret, cum eo beatus in æternum viveret, idque ad eum laudandum & celebrandum.

7. *Unde igitur exiſtit hæc naturæ humanæ pravitas?*

Ex lapſu & inobedientiâ primorum parentum Adami & Evæ: Hinc natura noſtra ita eſt depravata, ut omnes in peccatis concipiamur & naſcamur.

ἐπὶ τὴν τοῦ Θεοῦ τε ἅμα καὶ τοῦ πλησίον ἔχθραν παραφέρομαι.

6. Ἀλλ' ἆρα ὁ Θεὸς τὸν ἄνθρωπον οὕτω πονηρὸν καὶ διεστραμμένον ἔκτισε;

Μηδαμῶς· ἀλλ' ὁ Θεὸς τὸν ἄνθρωπον ἔκτισεν ἀγαθὸν, καὶ κατὰ τὴν αὐτοῦ εἰκόνα, τουτέστιν, ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας ἵνα τὸν Θεὸν, τὸν κτίστην αὐτοῦ, ὀρθῶς ἐπιγνοὺς, ἐκ ψυχῆς ἀγαπήσῃ, καὶ εἰς τὸν αἰῶνα μακάριος ὢν μετ' αὐτοῦ ζώῃ· εἴς τε τὸ ἐπαινέσαι αὐτὸν καὶ δοξάσαι.

7. Πόθεν οὖν παραγίνεται ἡ τῆς ἀνθρωπίνης φύσεως πονηρία;

Ἐκ τῆς πτώσεως καὶ ἀπειθείας τῶν πρώτων γονέων, Ἀδάμου καὶ Εὔας, τῆς ἐν τῷ παραδείσῳ πάλαι συμβάσης· δι' ἧς ἡ φύσις ἡμῶν οὕτω διεφθάρη, ὥστε πάντες ἐν ἁμαρτίαις συλλαμβανόμεθά τε καὶ τικτόμεθα.

8. Ἀλλ'

8. Ἀλλ᾽ ἆρα οὕτω διεφθάρημεν, ὥστε πρὸς οὐδὲν τὸ παράπαν ἀγαθὸν ἱκανοί ἐσμεν, ἀλλὰ πρὸς πᾶν κακὸν προπετεῖς φερόμεθα.

Ναί· ἐὰν μὴ ἐκ πνεύματος τοῦ Θεοῦ ἀναγεννηθῶμεν.

9. Ἆρ᾽ οὖν ὁ Θεὸς οὐκ ἀδικεῖ τὸν ἄνθρωπον, ὁπότε παρ᾽ αὐτοῦ ἐν τῷ νόμῳ ἀπαιτεῖ τὰ αὐτῷ ἐπιτελεῖν ἀδύνατα.

Οὐδαμῶς. ὁ Θεὸς μὲν γὰρ τὸν ἄνθρωπον ἔκτισεν οἷόν τε τὰς ἐντολὰς πληρῶσαι· ὁ δὲ ἄνθρωπος, τοῖς τοῦ κακοδαίμονος σοφίσμασιν ἐξαπατηθεὶς δι᾽ ἐθελουσίου ἀπειθείας ἑαυτόν τε καὶ τοὺς αὐτοῦ ἀπογόνους ἅπαντας, ἐκείνου τοῦ θείου χαρίσματος ἀπεστέρησε.

10. Ἀλλ᾽ ἆρα ὁ Θεὸς τὴν παρακοὴν ταύτην καὶ ἀποστασίαν ἀτιμώρητον ἀφήσει;

Οὐδαμῶς· ἀλλὰ δεινῶς

8. *An vero adeo corrupti ſumus, ut ad bene agendum prorſus non ſimus idonei, & ad omne vitium procli-ves?*

Certe: niſi per Spiritum ſanctum regeneremur.

DOM. IV.

9. *An non igitur Deus homini injuriam facit, qui ab eo in lege flagitet, quæ præſtare non queat?*

Minime. Nam Deus hominem talem condiderat, ut ea præſtare poſſet: verum homo, impulſore Diabolo, ſuâ ipſius contumaciâ, ſe & omnem poſteritatem divinis illis donis orbavit.

10. *Num Deus hanc contumaciam & defectionem hominis dimittit impunitam?*

Imo vero horrendis

modis iraſcitur, cum ob innata nobis peccata, tum ob ea, quæ ipſimet committimus; eaque juſtiſſimo judicio temporalibus & æternis ſuppliciis punit: quemadmodum ipſe pronunciat; Maledictus omnis, qui non permanet in omnibus, quæ ſcripta ſunt in libro legis, ut ea faciat.

ὀργίζεται τῇ τε ἐμφύτῳ καὶ τῇ πρακτῇ ἁμαρτίᾳ. καὶ δικαίᾳ κρίσει αὐτὴν προσκαίροις τε καὶ ἀϊδίοις τιμωρίαις μετέρχεται· καθὼς ἀπεφήνατο, Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά.

11. *An non igitur Deus etiam eſt miſericors?*

Eſt ille quidem miſericors, verum ita, ut etiam ſit juſtus. Quapropter poſtulat ejus juſtitia, ut quod adverſus ſummam Dei Majeſtatem commiſſum eſt, id etiam ut ſummis, hoc eſt, ſempiternis, cum animi tum corporis, ſuppliciis luatur.

11. Οὐχὶ δὲ καὶ ἐλεήμων ἐστὶν ὁ Θεός;

Ἔστι μὲν ἐλεήμων ὁ Θεός· ἔστι δὲ καὶ δίκαιος· ὅθεν ἡ δικαιοσύνη αὐτοῦ ἀξιοῖ τὴν εἰς τὸ ὑπέρτατον τῆς θείας μεγαλωσύνης σέβας ἠσεβημένην ἁμαρτίαν καὶ τῇ ἐσχάτῃ, τουτέστι, τῇ αἰωνίῳ τοῦ τε σώματος καὶ τῆς ψυχῆς τιμωρίᾳ κολασθῆναι.

Secunda Pars,

DE LIBERATIONE Hominis.

Τὸ δεύτερον τμῆμα.

Περὶ τῆς τοῦ ἀνθρώπου ἀπολυτρώσεως.

DOM. V.

12. *Quoniam igitur juſto Dei judi-*

12 Ἐπεὶ δήπερ οὖν τῇ δικαίᾳ Θεοῦ κρίσει προσκαίροις

σκαίροις τε καὶ αἰωνίοις
τιμωρίαις ἐνεχόμεθα, πῶς
αὖ τὰς τιμωρίας ταύτας
ἐκφυγεῖν, καὶ χάριτος τυ-
χεῖν οἷοί τε γενοίμεθα;

Ἀξιοῖ ὁ Θεὸς τῇ αὐ-
τοῦ δικαιοσύνῃ τὸ ἱκανὸν
ποιεῖσθαι· διὸ πᾶσα ἀνάγ-
κη, τοῦτο ἢ δι' ἡμῶν αὐτῶν,
ἢ δι' ἄλλου τινὸς γενέσθαι.

13. Ἆρ' οὖν αὐτοὶ δι'
αὐτῶν ἱκανὸν ποιῆσαι
δυνατοί ἐσμεν;

Οὐδαμῶς· μᾶλλον δὲ
τὰ ὀφειλήματα καθ' ἑκά-
στην καὶ πληθύνομεν

14. Ἀλλ' ἆρα ψιλή
τις κτίσις τῶν ἐπουρανίων
ἢ ἐπιγείων, τὸ ὀφειλόμε-
νον ἀνθ' ἡμῶν ἐκτῖσαι
δύναται;

Οὐδεμία· πρῶτον μὲν
γὰρ οὐ δικαιοῖ ὁ Θεὸς ἐν
ἄλλῃ τινὶ κτίσει κολάσαι
τὰ τοῦ ἀνθρώπου ἐξημαρ-
τημένα, ἔπειτα δὲ οὐδὲ δύ-
ναται κτίσις οὐδεμία, τὸ
βάρος τῆς ὀργῆς τοῦ Θεοῦ,
τὸ κατὰ τῆς ἁμαρτίας ὑπο-

cio, temporalibus & æternis pœnis obnoxii ſumus: eſtne reliqua ulla ratio aut via, quâ his pœnis liberemur & Deo reconcilie-mur?

Vult Deus ſuæ juſtitiæ ſatisfieri: quocirca neceſſe eſt, vel per nos, vel per alium ſatisfaciamus.

13. *Poſſumus ne ipſi per nos ſatisfacere?*

Nullâ ex parte: quin etiam debitum in ſingulos dies augemus.

14. *Poteſt ne ulla creatura in cœlo vel in terrâ, quæ tantum creatura ſit, pro nobis ſatisfacere?*

Nulla: Nam principio non vult Deus quod homo peccavit, id in aliâ creaturâ pleĉtere. Deinde nec poteſt quidem, quod mera tantum creatura ſit, iram Dei adverſus peccatum ſuſtine-

re, & alios ab eâ liberare.

DOM. VI.

15. *Qualis ergo quærendus eſt mediator & liberator?*

Qui verus quidem homo ſit, ac perfecte juſtus, & tamen omnibus creaturis potentior, hoc eſt, qui ſimul etiam ſit verus Deus.

16. *Cur neceſſe eſt eum verum hominem, & quidem perfecte juſtum eſſe?*

Quia juſtitia Dei poſtulat, ut eadem natura humana, quæ peccavit, ipſa pro peccato dependat: qui vero ipſe peccator eſſet, pro aliis dependere non poſſet.

17. *Quare oportet eum ſimul etiam vere Deum eſſe?*

Ut potentiâ ſuæ divinitatis, onus iræ divinæ, carne ſuâ ſuſti-

στῆναι καὶ ἄλλους τοῦ ἄχθους τούτου ἀποφορτίσαι.

15. Ποῖος οὖν ζητητέος ἡμῖν μεσίτης καὶ λυτρωτής;

Ὁ ἅμα μὲν ἄνθρωπος ὢν ἀληθινὸς καὶ δίκαιος, ἅμα δὲ πασῶν τῶν κτίσεων ἰσχυρότερος, τοῦτ' ἔστιν ὁμοῦ καὶ Θεὸς ὢν ἀληθινός.

16. Διὰ τί δὲ αὐτὸν εἶναι δεῖ ἀληθινόν τε καὶ δίκαιον ἄνθρωπον;

Διότι ἡ τοῦ Θεοῦ δικαιοσύνη ἀξιοῖ τὴν ἀνθρωπείαν φύσιν, ἣ τὴν ἁμαρτίαν ἐποίησεν, ὑπὲρ τῆς ἁμαρτίας καὶ ἐκτίσαι. ὁ δὲ ἁμαρτίαις αὐτὸς ὑπάρχων ἔνοχος, οὐκ ἂν ὑπὲρ ἄλλων ἐκτίσαι οἷός τε γένοιτο.

17. Διὰ τί δ' αὐτὸν καὶ ἀληθινὸν Θεὸν εἶναι ἀνάγκη;

Ἵνα τῇ τῆς Θεότητος αὐτοῦ δυνάμει τὸ βάρος τῆς τοῦ Θεοῦ ὀργῆς ἐν τῇ ἀνθρωπότητι ὑποστῆναι οἷός

τε

τε ᾖ. ἡμῖν τε τὴν ἀπο-
λωλυῖαν δικαιοσύνην καὶ
ζωὴν ἀνακτήσασθαί τε
καὶ ἀποκαταστῆσαι δύνηται.

18. Τίς δ' ἐστὶν ὁ με-
σίτης οὗτος, ὁ ἅμα Θεός
τε ὢν ἀληθινὸς, καὶ ἀλη-
θινός τε καὶ δίκαιος ἄν-
θρωπος;

Ὁ κύριος ἡμῶν Ἰη-
σοῦς Χριστός· ὃς ἐγενήθη
ἡμῖν σοφία ἀπὸ Θεοῦ, δι-
καιοσύνη τε καὶ ἁγιασμὸς
καὶ ἀπολύτρωσις

19. Πόθεν δὲ ταῦτά
σοι δῆλα;

Ἐκ τοῦ ἁγίου εὐαγγε-
λίου, ὅπερ ὁ Θεὸς πρῶτον
μὲν αὐτὸς ἐν τῷ παρα-
δείσῳ ἐξέφηνεν, ἔπειτα
διά τε τῶν ἁγίων πατριαρ-
χῶν καὶ προφητῶν κατὰ
διαδοχὰς προεβίβασε. καὶ
διὰ τῶν θυσιῶν ἄλλων τε
νομικῶν ἱερουργιῶν ὑπε-
τύπωσε· τελευτῶν δὲ καὶ
διὰ τοῦ μονογενοῦς υἱοῦ συ-
νετελείωσε.

20. Ἆρ' οὖν πάντες

nere, nobiſque amiſ-
ſam juſtitiam & vitam
reparare ac reſtituere
poſſit.

18. *Quis autem eſt ille Mediator, qui ſimul eſt verus Deus: & verus perfecteque juſtus homo?*

Dominus noſter Jeſus Chriſtus, qui factus eſt nobis à Deo Sapientia Juſtitia, Sanctificatio & Redemptio.

19. *Unde id ſcis?*

Ex Euangelio: quod Deus primum in Paradiſo patefecit, ac deinceps per Patriarchas & Prophetas propagavit: ſacrificiis reliquiſque ceremoniis legis adumbravit: ad extremum vero per Filium ſuum unigenitum complevit.

DOM. VII.

20. *Num igitur*

omnibus hominibus, qui in Adamo perierant, per Chriſtum ſalus redditur?

Non omnibus, verum iis tantum, qui verâ fide ipſi inſeruntur, ejuſque beneficia omnia amplectuntur.

21. *Quid eſt vera fides?*

Eſt non tantum certa notitia, quâ firmiter aſſentior omnibus, quæ Deus nobis in verbo ſuo pateſecit, ſed et jam certa fiducia, a Spiritu Sancto per Euangelium in corde meo accenſa, quâ in Deo acquieſco, certo ſtatuens, non ſolum aliis, ſed mihi quoque remiſſionem peccatorum, æternam juſtitiam, & vitam donatam eſſe, idque gratis, ex Dei miſericordiâ, propter unius Chriſti meritum.

οἱ ἄνθρωποι, καθάπερ δι' Ἀδάμου τῇ ἀπωλείᾳ περιέπεσον, οὕτω καὶ διὰ τοῦ Χριστοῦ τῆς σωτηρίας τυγχάνουσιν;

Οὐχ' ἅπαντες, ἀλλὰ μόνον οἱ δι' ἀληθινῆς πίστεως αὐτῷ ἐμφυτευόμενοι, καὶ πάντα τὰ εὐεργετήματα αὐτοῦ ἀποδεχόμενοι.

21. Τί οὖν ἐστιν ἡ ἀληθινὴ πίστις;

Ἔστιν οὐ μόνον βεβαία ὑπόληψις, ᾗ πᾶσι τοῖς παρὰ τοῦ Θεοῦ ἐν τῷ ῥήματι αὐτοῦ θεσπιζομένοις, ὡς παναληθέσι, παγίως συγκατατίθεμαι· ἀλλὰ καὶ βεβαία πεποίθησις ἐν τῇ καρδίᾳ μου ὑπὸ τοῦ ἁγίου Πνεύματος, διὰ τῆς τοῦ εὐαγγελίου φωνῆς ἀναφθεῖσα· δι' ἧς πληροφοροῦμαι, ὡς οὐχ' ἑτέροις μόνον, ἀλλὰ καὶ ἐμοὶ, τῶν ἁμαρτιῶν ἄφεσις, αἰωνία τε δικαιοσύνη καὶ σωτηρία παρὰ τοῦ Θεοῦ δεδώρηται, καὶ ταῦτα τῇ αὐτοῦ χάριτι μόνον, διὰ τὸ τοῦ Χριστοῦ λύτρον.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

22. Τίνα δ' ἐστὶν ἃ τοὺς Χριστιανοὺς πιστεύειν δεῖ;

Πάντα τὰ ἡμῖν ἐν τῷ εὐαγγελίῳ ἐπαγγελλόμενα, ἅπερ ἡμῖν τὸ καθολικὸν καὶ ἀνενδοίαστον τῶν Χριστιανῶν σύμβολον ἐν βραχέσι κεφαλαίοις ἐκφαίνει.

23. Τίνες οὖν αἱ τοῦ συμβόλου ῥήσεις;

Πιστεύω εἰς Θεὸν, Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς· καὶ εἰς Ἰησοῦν Χριστὸν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ κύριον ἡμῶν· συλληφθέντα ἐκ Πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου· παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα, καὶ ταφέντα, κατελθόντα εἰς ᾅδου· τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν· ἀνελθόντα εἰς τοὺς οὐρανούς· καθεζόμενον ἐκ δεξιῶν Θεοῦ τοῦ Πατρὸς παντοκράτορος· ὅθεν μέλλει

22. *Quænam ſunt illa, quæ neceſſe eſt hominem Chriſtianum credere?*

Omnia, quæ nobis in Euangelio promittuntur, quorum ſumma in Symbolo Apoſtolico, ſeu in capitibus catholicæ & indubitatæ omnium Chriſtianorum fidei, breviter comprehenditur.

23. *Quod eſt illud Symbolum?*

Credo in Deum, Patrem omnipotentem, creatorem cœli & terræ: & in Jeſum Chriſtum Filium ejus unigenitum, Dominum noſtrum: qui conceptus eſt de Spiritu Sancto, natus ex Mariâ virgine: paſſus ſub Pontio Pilato: crucifixus: mortuus: & ſepultus: deſcendit ad inferna: tertiâ die reſurrexit à mortuis: aſcendit ad cœlos: ſedet ad dextram Dei Patris omnipotentis: inde ventu-

rus eſt judicatum vivos & mortuos. Credo in Spiritum Sanctum. Credo ſanctam Eccleſiam catholicam: ſanctorum communionem: remiſſionem peccatorum: carnis reſurrectionem: & vitam æternam. Amen.

DOM. VIII.

24. *In quot partes diſtribuitur hoc Symbolum?*

In tres partes. Prima eſt de Deo Patre, & noſtri creatione. Altera eſt de Deo Filio, & noſtri redemtione. Tertia eſt de Deo Spiritu Sancto, & noſtri ſanctificatione.

25. *Cum una ſit tantum eſſentia divina: cur tres iſtos nominas, Patrem, Filium, & Spiritum Sanctum?*

Quia Deus ita ſe in verbo ſuo pateſecit, quod tres hæ diſtinctæ perſonæ ſint unus

ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύω εἰς Πνεῦμα ἅγιον. Πιστεύω ἁγίαν Ἐκκλησίαν καθολικήν· ἁγίων κοινωνίαν· ἄφεσιν ἁμαρτιῶν· σαρκὸς ἀνάστασιν· ζωὴν αἰώνιον.

24. Πόσα δ᾽ ἐστὶ τοῦ συμβόλου τούτου μέρη;

Τρία. τὸ πρῶτον, περὶ Θεοῦ τοῦ Πατρὸς, καὶ τῆς κτίσεως ἡμῶν. τὸ δεύτερον, περὶ Θεοῦ τοῦ Υἱοῦ, καὶ τῆς ἀπολυτρώσεως ἡμῶν. τὸ τρίτον, περὶ Θεοῦ τοῦ ἁγίου Πνεύματος, καὶ τοῦ ἁγιασμοῦ ἡμῶν.

25. Διὰ τί δὲ τρεῖς ὀνομάζεις, τὸν Πατέρα, τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα· ὅπου γε μία μόνον τῆς Θεότητος ὑπάρχει οὐσία;

Διότι ὁ Θεὸς ἐν τῷ αὐτοῦ ῥήματι οὕτως ἑαυτὸν ἐφανέρωσεν, ὡς αἱ τρεῖς αὗται αἱ διακεκριμέναι ὑποστάσεις, ὁ εἷς καὶ ἀλη-

ἀληθινὸς ὁ πρὸ αἰώνων Θεὸς ὑπάρχουσιν.

Περὶ Θεοῦ τοῦ Πατρός.

26. Τί δὲ πιστεύεις, ὅτε φῂς· Πιστεύω εἰς Θεὸν Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς;

Πιστεύω ὡς ὁ αἰώνιος Πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς, ἐξ οὐδενὸς ποιήσας, καὶ εἰσέτι αὐτὰ τῇ αἰωνίῳ αὐτοῦ βουλῇ καὶ προνοίᾳ σώζων τε καὶ διοικῶν, διὰ τὸν υἱὸν αὐτοῦ Ἰησοῦν Χριστὸν, Θεός μου, καὶ πατήρ μου ἐστι· διὸ ταύτην ἐπ᾽ αὐτῷ πεποίθησιν ἔχω, καὶ οὕτως αὐτῷ θαῤῥῶ, ὡς πάντα μοι τά τε πρὸς ψυχικὰς καὶ τὰ πρὸς σωματικὰς ἐνδείας χρειώδη, πατρικῶς ἐπιχορηγήσει. καὶ πάντα προσέτι τὰ κακὰ τὰ ἐν τῷ δυστήνῳ τῷδε βίῳ ἐμοὶ ἐκ τῆς αὐτοῦ οἰκονομίας συναντῶντα, εἰς

ille verus & æternus Deus.

DE DEO PATRE

DOM. IX.

26. *Quid credis cum dicis : Credo in Deum Patrem omnipotentem creatorem cœli & terræ?*

Credo æternum Patrem Domini noſtri Jeſu Chriſti, qui cœlum & terram, cum omnibus, quæ in iis ſunt, ex nihilo creavit, quique eadem æterno ſuo conſilio & providentiâ ſuſtentat ac gubernat ; propter Chriſtum, Deum meum & Patrem meum eſſe : itaque ſic ei confido, ſic in eo acquieſco, ut non dubitem, quin proviſurus ſit omnibus, cum animo, tum corpori meo neceſſariis, quin etiam, quæ mihi mala in hâc ærumnoſâ vitâ immittito.

eit, ea in meam ſalutem ſit converſurus, cum & facere id poſſit, ut omnipotens Deus; & facere id velit, ut benignus Pater.

DOM. X.

27. *Quid eſt providentia Dei?*

Omnipotens & ubique præſens Dei vis, quâ cœlum ac terram cum omnibus creaturis tanquam manu ſuâ ſuſtinet ac gubernat: ut quæ terrâ naſcuntur, pluvia item & ſiccitas, fertilitas & ſterilitas, cibus & potus, bona & adverſa valetudo, divitiæ & paupertas, omnia denique, non temere aut fortuito, ſed paterno ejus conſilio & voluntate contingant.

28. *Quid nobis prodeſt hæc cognitio Creationis & Providentiæ divinæ?*

σωτηρίαν μοι ἐκβῆναι ποιήσει· ἐπειδὴ ταῦτα ἅμα μὲν δύναται ποιεῖν, ὡς παντοδύναμος Θεὸς, ἅμα δὲ καὶ βούλεται, ὡς χρηστὸς πατήρ.

27 Τί δὲ νοεῖς διὰ τῆς τοῦ Θεοῦ προνοίας;

Τὴν παντοκράτορα καὶ πανταχοῦ παροῦσαν Θεοῦ δύναμιν, δι᾽ ἧς τόν τε οὐρανὸν καὶ τὴν γῆν, σὺν πάσαις ταῖς κτίσεσι οἱονεὶ ταῖς χερσὶ διὰ παντὸς σώζει, καὶ οὕτω κυβερνᾷ. ὡς χλόην τε καὶ ἄχλοιαν, ὑγρασίαν καὶ ξηρασίαν, εὐκαρπίαν καὶ ἀκαρπίαν, σιτία καὶ ποτά, ὑγίειαν καὶ νόσον, πλοῦτον καὶ πενίαν, καὶ ἁπαξαπλῶς ἅπαντα ἡμῖν οὐκ αὐτομάτως, ἀλλ᾽ ἐκ τῆς πατρικῆς αὐτοῦ βουλῆς καὶ θελήματος παραγίνεσθαι.

28. Τίνα δ᾽ ἡμῖν ὠφέλειαν παρέχεται ἡ τῆς κτίσεώς τε καὶ προνοίας γνῶσις;

Ἵνα

Ἵνα ἔν τε δυσπραγίαις ὑπομένοντες, καὶ ἐν εὐπραγίαις εὐχάριστοι ὦμεν, εἰς δὲ τὸ μέλλον βεβαίαν ἐπὶ τῷ πιστοτάτῳ Θεῷ καὶ Πατρὶ πεποίθησιν ἔχωμεν, εὖ εἰδότες, ὡς οὐδὲν τὸ παράπαν ἡμᾶς ἀπὸ τῆς τοῦ Θεοῦ ἀγάπης χωρίσαι δύναται· ἐπειδὴ πάσας τὰς κτίσεις οὕτω τῇ αὐτοῦ χειρὶ διέπει, ὥστε παρὰ τὴν αὐτοῦ βούλησιν οὐδ᾽ ἐλάχιστόν τι κινεῖσθαι δύνασθαι.

Περὶ Θεοῦ τοῦ Υἱοῦ.

29. Διὰ τί δὲ ὁ υἱὸς τοῦ Θεοῦ, Ἰησοῦς καλεῖται· ὅ ἐστι Σωτήρ;

Διότι σώζει ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ τὴν σωτηρίαν οὔτε ζητεῖν, οὔτε εὑρεῖν.

30. Ἆρ᾽ οὖν εἰς Ἰησοῦν τὸν μόνον ἡμῶν σωτῆρα πιστεύουσιν, οἱ ἐν

Ut in adverſis patientes, in ſecundis grati ſimus. in futurum vero optimam in Deo fidiſſimo Patre ſpem repoſitam habeamus, certo ſcientes, nihil eſſe quod nos ab ejus amore abſtrahat, quandoquidem omnes creaturæ ita ſunt in ejus poteſtate, ut ſine ejus arbitrio, non modo nihil agere; ſed ne moveri quidem poſſint.

DE DEO FILIO.

DOM. XI.

29. *Quare Filius Dei appellatur Jeſus, hoc eſt, Salvator?*

Quia nos ſalvat ab omnibus peccatis noſtris: nec ulla ſalus vel peti aliunde debet, vel alibi reperiri poteſt.

30. *Credunt-ne igitur illi in unicum Servatorem Jeſum,*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ſum, qui à ſanctis, aut à ſe, aut aliunde felicitatem ſalutemve quærunt?

Non: Etſi enim verbo quidem eo Servatore gloriantur, re ipsâ tamen abnegant unicum Servatorem Jeſum. Neceſſe eſt enim, aut Jeſum non eſſe perfectum Servatorem, aut qui eum Servatorem verâ fide amplectuntur, eos omnia in ipſo poſſidere, quæ ad ſalutem requiruntur.

DOM. XII.

31. *Quare appellatur Chriſtus, hoc eſt, unctus?*

Quod à Patre ordinatus, & Spiritu Sancto unctus ſit ſummus Propheta ac Doctor, qui nobis arcanum conſilium & omnem voluntatem Patris, de redemtione noſtri patefecit: & ſummus

τοῖς ἁγίοις, ἢ ἐν σφίσιν αὐτοῖς, ἢ ἄλλοθί που τὴν σωτηρίαν καὶ μακαριότητα ζητοῦντες;

Οὐδαμῶς· ἀλλὰ τῷ μὲν λόγῳ περὶ τοῦ μόνου ἡμῶν σωτῆρος Ἰησοῦ καυχῶνται, τῷ δὲ ἔργῳ αὐτὸν ἀπαρνοῦνται· δυοῖν γὰρ θάτερον ἀνάγκη, ἢ τὸν Ἰησοῦν οὐ τέλειον εἶναι σωτῆρα, ἢ τοὺς τὸν σωτῆρα τοῦτον δὲ ἀληθινῇ πίστει δεχομένους, πάντων ἐν αὐτῷ τυγχάνειν, τῶν πρὸς τὴν αὐτῶν σωτηρίαν ἀναγκαίων.

31. Διὰ τί δὲ Χριστὸς καλεῖται;

Διότι ὑπὸ Θεοῦ τοῦ Πατρὸς τέτακται, καὶ τῷ ἁγίῳ Πνεύματι κέχρισται εἴς τε κορυφαῖον ἡμῶν προφήτην καὶ διδάσκαλον, τὸν ὁλοκλήρως ἡμῖν τὴν ἀπόρρητον τοῦ Πατρὸς βουλὴν περὶ τῆς ἀπολυτρώσεως ἡμῶν ἐξηγήσαντα· καὶ εἰς μόνον ἡμῶν ἀρχιε-

ἀρχιερέα, ὃς τῇ τοῦ ἰδίου σώματος ἐφάπαξ προσφορᾷ ἡμᾶς ἀπελύτρωσε, καὶ διηνεκῶς ὑπὲρ ἡμῶν παρὰ τῷ Πατρὶ ἐντυγχάνει, καὶ εἰς αἰώνιον ἡμῶν βασιλέα, ὃς τῷ αὐτοῦ ῥήματι καὶ πνεύματι ἡμᾶς κυβερνᾷ, καὶ τὴν περιπεποιημένην ἡμῖν ἀπολύτρωσιν τηρῶν καὶ σώζων διατελεῖ.

32 Διὰ τί δὲ σὺ Χριστιανὸς χρηματίζεις;

Ὅτι Χριστοῦ μέλος διὰ τῆς πίστεως εἰμὶ, καὶ παρὰ τοῦτο τοῦ χρίσματος αὐτοῦ μετέχω ἵνα τὸ αὐτοῦ ὄνομα ὁμολογῶν, καὶ ἐμὲ θυσίαν ζῶσαν αὐτῷ παριστάνων, καὶ παρὰ τόνδε τὸν βίον τῇ ἁμαρτίᾳ καὶ τῷ διαβόλῳ ἐν καθαρᾷ συνειδήσει διαμαχεσάμενος, μετὰ ταῦτα σὺν αὐτῷ εἰς τὸν αἰῶνα πασῶν τῶν κτίσεων κυριεύσω.

33. Διὰ τί δὲ ὁ

Pontifex, qui nos unico ſacrificio ſui corporis redemit, aſſidueque pro nobis apud Patrem intercedit: & Rex, qui nos ſuo verbo & Spiritu gubernat, & partam nobis ſalutem tuetur ac conſervat.

32. *Cur vero tu Chriſtianus appellaris?*

Quod per fidem, membrum ſum Jeſu Chriſti, & unctionis ipſius particeps, ut & nomen ejus confitear, meque ſiſtam ipſi vivam gratitudinis hoſtiam, & in hâc vitâ, contra peccatum & Satanam, liberâ & bonâ conſcientiâ pugnem, & poſtea æternum cum Chriſto regnum in omnes creaturas teneam.

DOM. XIII.

33. *Quam ob cauſam*

ſam

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ſam Chriſtus vocatur Filius Dei unigenitus, cum nos quoque ſimus Filii Dei?

Quia ſolus Chriſtus eſt coæternus & naturalis æterni Patris Filius: nos autem propter eum, ex gratiâ, à Patre adoptati ſumus.

34. *Quâ de cauſâ appellas eum Dominum noſtrum?*

Quia corpus & animam noſtram à peccatis, non auro nec argento, ſed precioſo ſuo ſanguine redemit, & ab omni poteſtate Diaboli liberavit, atque ita nos ſibi proprios vindicavit.

DOM. XIV.

35. *Quid credis cum dicis: Conceptus eſt per Spiritum Sanctum, natus ex Mariâ virgine?*

Quod ipſe Filius Dei qui eſt, & permane verus ac æternus Deus

Χριστὸς καλεῖται μονογενὴς Θεοῦ υἱὸς, ὅπουγε καὶ αὐτοὶ Θεοῦ τέκνα ἐσμέν;

Διότι ὁ Χριστὸς μόνος ἀΐδιος καὶ φύσει τοῦ Θεοῦ υἱὸς ὑπάρχει· ἡμεῖς δὲ διὰ ἐκεῖνον δωρεὰν τὴν υἱοθεσίαν παρὰ τοῦ Θεοῦ εἰλήφαμεν.

34. Διὰ τί δὲ προσαγορεύεις αὐτὸν Κύριον ἡμῶν;

Διότι τὰς ψυχάς τε ἡμῶν καὶ τὰ σώματα ἐκ τῆς ἁμαρτίας καὶ ἁπάσης τῆς τοῦ διαβόλου ἐξουσίας, οὐκ ἀργυρίῳ ἢ χρυσίῳ, ἀλλὰ τῷ τιμίῳ αὐτοῦ αἵματι εἰς περιποίησιν ἑαυτῷ ἐξαγοράσας ἀπελύτρωσε.

35. Τί δὲ βούλεται τὸ συλληφθῆναι αὐτὸν ἐκ τοῦ ἁγίου Πνεύματος, καὶ γεννηθῆναι ἐκ Μαρίας τῆς παρθένου;

Δηλοῖ, τὸν συναΐδιον τοῦ Θεοῦ Υἱὸν, ὃς ἀληθινὸς καὶ αἰώνιος Θεός ἐστί τε καὶ

καὶ διαμένει, ἐκ τῆς σαρκὸς καὶ τοῦ αἵματος τῆς Μαρίας τῆς παρθένου, ἐνεργοῦντος τοῦ ἐπ' αὐτὴν ἐπελθόντος ἁγίου Πνεύματος, ἀληθινὴν ἀνθρώπου φύσιν ἐπειληφέναι, ἵνα καὶ τὸ ἀληθινὸν τοῦ Δαβίδου σπέρμα εἴη, τοῖς ἀδελφοῖς αὐτοῦ κατὰ πάντα ὅμοιος, χωρὶς τῆς ἁμαρτίας.

36. Τί δὲ σοι ὄφελος προσγίνεται ἐκ τῆς ἁγίας τοῦ Χριστοῦ συλλήψεως καὶ γενέσεως;

Ὅτι μεσίτης ἐστὶν ἡμῶν τῇ τε αὐτοῦ ἀκακίᾳ καὶ παντελεῖ ἁγιότητι, τὰς ἁμαρτίας μου ἐν αἷς συνελήφθην, ἐνώπιον τοῦ Θεοῦ συγκαλύπτει.

37. Τί δὲ σημαίνει τὸ παθεῖν τὸν Χριστόν;

Ὅτι ὅλον μὲν τὸν τοῦ ἐπιγείου βίου χρόνον, μάλιστα δὲ περὶ τὴν τοῦ βίου καταστροφὴν τὴν ὀργὴν τοῦ Θεοῦ, τὴν κατὰ τῆς ὅλου τοῦ ἀνθρωπίνου

naturam vere humanam ex carne & ſanguine virginis Mariæ, operatione Spir. Sancti aſſumſit, ut ſimul ſit verum ſemen Davidis, fratribus ſuis per omnia ſimilis, excepto peccato.

36. *Quem fructum percipis ex ſanctâ conceptione & nativitate Chriſti?*

Quod is noſter ſit Mediator, & ſuâ innocentiâ ac perfectâ ſanctitate, mea peccata, in quibus conceptus ſum, tegat, ne in conſpectum Dei veniant.

DOM. XV.

37. *Quid credis, cum dicis: Paſſus eſt?*

Eum toto quidem vitæ ſuæ tempore quo in terris egit, præcipue vero in ejus extremo, iram Dei adverſus peccatum univerſi generis humani,

corpore

corpore & animâ ſuſtinuiſſe, ut ſuâ paſſione, tanquam unico ſacrificio propitiatorio, corpus & animam noſtram ab æternâ damnatione liberaret, & nobis gratiam Dei, juſtitiam & vitam æternam acquireret.

38. *Quid cauſæ fuit, cur ſub judice Pontio Pilato pateretur?*

Ut innocens coram judice politico damnatus nos à ſevero Dei judicio, quod omnes manebat, eximeret.

39. *Eſt-ne vero quiddam amplius, quod affixus eſt cruci, quam ſi alio genere mortis affectus eſſet?*

Sane amplius: Ex hâc enim re ſum certus, eam maledictionem, quæ mihi incumbebat, in ſe recepiſſe: nam mors cru-

χθοὺς ἁμαρτίας, ἔν τε τῷ σώματι, καὶ ἐν τῇ ψυχῇ ἐβάστασεν ἵνα τῷ αὐτοῦ πάθει, οἱονεὶ μόνῃ τῇ ἱλαστικῇ θυσίᾳ τὰ σώματα ἡμῶν καὶ τὰς ψυχὰς τῆς αἰωνίου τιμωρίας ἀπαλλάξειε, τήν τε τοῦ Θεοῦ χάριν, τὴν δικαιοσύνην καὶ τὴν αἰώνιον ζωὴν ἡμῖν περιποιήσαιτο

38. Διὰ τί δ' ἐπὶ Ποντίου Πιλάτου ἔπαθε;

Ἵνα ἀναίτιος ἐπὶ κοσμικοῦ δικαστοῦ κατακριθεὶς, ἡμᾶς τῆς ἀπαραιτήτου καταδίκης, τῆς ἐκ τοῦ Θεοῦ πάντας ἡμᾶς ἀποφέρεσθαι μελλούσης, ἀπαλλάξειε.

39. Ἀλλ' ἆρα πλέον τι τὸ σταυρωθῆναι αὐτὸν, ἢ τὸ ἄλλῳ τῷ θανάτῳ ζημιωθῆναι;

Πάνυ γε· τούτῳ γὰρ τῷ πιστώματι δῆλός ἐστι, τὴν κατάραν τὴν ἐμοὶ ἐπικειμένην, εἰς ἑαυτὸν μετενεγκὼν ἐπικατάρατος

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

γὰρ ἦν ὁ ἐπὶ τοῦ σταυροῦ θάνατος.

40. Διὰ τί δὲ θανεῖν αὐτὸν ἔδει;

Διότι τῇ δικαιοσύνῃ καὶ ἀληθείᾳ τοῦ Θεοῦ, ὑπὲρ τῆς ἁμαρτίας ἡμῶν, οὐκ ἄλλως πως, ἢ τῷ θανάτῳ τοῦ Υἱοῦ αὐτοῦ ἱκανὸν γενέσθαι ἠδύνατο.

41. Διὰ τί δὲ ἐτάφη;

Ἵνα τούτῳ τῷ ἐλέγχῳ κατάδηλος γένοιτο τῷ ὄντι ἀποθανών.

42. Ἐπεὶ οὖν ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν, διὰ τί καὶ ἡμᾶς αὐτοὺς ἀποθανεῖν χρεών;

Ὁ θάνατος ἡμῶν οὐκ ἔστιν ἀντίλυτρον ὑπὲρ τῆς ἁμαρτίας ἡμῶν, ἀλλὰ μόνον θανάτωσις τῆς ἁμαρτίας, καὶ μετάβασις εἰς τὴν αἰώνιον ζωήν.

43. Τίνα δὲ πρὸς τούτοις ὄνησιν φέρει ἡμῖν ἡ προσφορὰ καὶ τελευτὴ τοῦ Χριστοῦ, ἡ ἐπὶ τοῦ σταυροῦ;

cis à Deo erat maledicta.

DOM. XVI.

40. *Cur neceſſe fuit, ut Chriſtus ad mortem uſque ſe demitteret?*

Propterea, quod juſtitiæ & veritati Dei nullo alio pacto pro noſtris peccatis potuit ſatisfieri, quam ipsâ morte Filii Dei.

41. *Quare etiam ſepultus eſt?*

Ut eo teſtatum faceret, ſe vere mortuum eſſe.

42. *At cum Chriſtus pro nobis mortem oppetierit, cur nobis quoque eſt moriendum?*

Mors noſtra non eſt pro peccatis noſtris ſatisfactio, ſed peccati abolitio, & tranſitus in vitam æternam.

43. *Quid præterea capimus commodi ex ſacrificio & morte Chriſti in cruce?*

Quod

Quod virtute ejus mortis vetus noſter homo una cum eo cruciſigitur, interimitur, ac ſepelitur, ne pravæ cupiditates & deſideria carnis poſthac in nobis regnent, ſed nos ipſos ei hoſtiam gratitudinis offeramus.

44. *Cur additur, Deſcendit ad inferna?*

Ut in ſummis doloribus & graviſſimis tentationibus, me conſolatione hâc ſuſtentem, quod Dominus meus Jeſus Chriſtus inenarrabilibus animi ſui anguſtiis cruciatibus, & terroribus, in quos cum antea, tum maxime in cruce pendens, fuerat demerſus, me ab anguſtiis & cruciatibus inferni liberavit.

DOM. XVII.

45. *Quid nobis prodeſt reſurrectio Christi?*

Primum, ſuâ reſurrectione mortem devicit, ut nos poſſet

Ὅτι τῇ αὐτοῦ δυνάμει ὁ παλαιὸς ἡμῶν ἄνθρωπος αὐτῷ συσταυροῦται, συνθανατοῦται, καὶ συνθάπτεται ἵνα αἱ σαρκικαὶ ἐπιθυμίαι οὐκέτι ἐν ἡμῖν βασιλεύωσιν, ἀλλ' αὐτοὶ αὐτοὺς ζῶσαν καὶ δι' ἀρεστοῦσαν αὐτῷ θυσίαν παριστῶμεν.

44. Διὰ τί προσκεῖται· Κατελθόντα εἰς ᾅδου;

Ἵνα ἐν τοῖς ἐσχάτοις τῶν πειρασμῶν, ὀδυνῶν τε πληροφορηθῶ, ὅτι ὁ κύριός μου Ἰησοῦς, διὰ τῆς ἀνεκφράστου ἀγωνίας, ἀλγηδόνων τε καὶ τρόμων, ἅπερ καὶ τῇ ψυχῇ καὶ πρότερον μάλιστα ἐπὶ τοῦ σταυροῦ ὑπέμεινεν, ἐμὲ ἀπὸ τῆς τοῦ ᾅδου ἀγωνίας τε καὶ τιμωρίας ἐρρύσατο.

45. Τί δ' ἡμᾶς ὠφελεῖ ἡ τοῦ Χριστοῦ ἀνάστασις;

Πρῶτον μὲν τῇ αὐτοῦ ἀναστάσει τὸν θάνατον κατηγωνίσατο, ἵνα ἡμῖν τῆς δικαιο-

δικαιοσύνης, τῆς διὰ τοῦ ἰδίου θανάτου περιποιηθείσης, μεταδιδόναι δύναιτο. ἔπειτα δὲ καὶ ἡμεῖς ἤδη τῇ αὐτοῦ δυνάμει πρὸς καινὴν ζωὴν διεγειρόμεθα. τὸ τρίτον δὲ ἡ τοῦ Χριστοῦ ἀνάστασις ἀσφαλὲς ἡμῖν ἐνέχυρον ὑπάρχει τῆς ἡμετέρας πρὸς μακάριον ζωὴν ἀναστάσεως

46. Πῶς δὲ νοεῖς τὴν αὐτοῦ εἰς οὐρανοὺς ἀνάβασιν;

Ὅτι ὁ Χριστὸς, βλεπόντων μαθητῶν ἀπὸ τῆς γῆς διέστη, καὶ εἰς τὸν οὐρανὸν ἀνηνέχθη· καὶ ἐπὶ τῷ ἡμῶν συμφέροντι ἐκεῖ διαμένει, ἕως ἂν ἐπανέλθῃ κρῖναι τούς τε ζῶντας καὶ νεκρούς.

47. Οὐχὶ οὖν ὁ Χριστὸς μεθ' ἡμῶν ἐστιν ἕως τῆς συντελείας τοῦ αἰῶνος, καθάπερ ἐπηγγείλατο;

Ὁ Χριστὸς ἄνθρωπός τε

ejus juſtitiæ, quam nobis ſuâ morte pepererat, participes facere. Deinde, nos jam quoque ejus potentiâ ad novam vitam excitamur. Poſtremò, reſurrectio capitis noſtri Chriſti, nobis glorioſæ reſurrectionis noſtræ pignus eſt.

DOM. XVIII.

46. *Quomodo intelligis illud, Aſcendit ad cœlos?*

Quod aſpicientibus diſcipulis, Chriſtus de terrâ in cœlum ſublatus eſt, atque etiamnum noſtrâ causâ ibidem eſt, & erit, donec redeat ad judicandum vivos & mortuos.

47. *An ergo Chriſtus non eſt nobiſcum uſque ad finem mundi, quemadmodum promiſit?*

Chriſtus eſt verus Deus

Deus & verus homo, itaque ſecundum naturam humanam, jam non eſt in terrâ: at ſecundum divinitatem ſuam, majeſtatem, gratiam & Spiritum, nullo umquam tempore à nobis abeſt.

48. *An vero iſto pacto duæ naturæ in Chriſto non divelluntur, ſi non ſit natura humana, ubicunque eſt divina?*

Minime: Nam cum divinitas comprehendi non queat, & omni loco præſens ſit: neceſſario conſequitur, eſſe eam quidem extra naturam humanam, quam aſſumſit, ſed nihilominus tamen eſſe in eâdem, eique perſonaliter unitam permanere.

49. *Quem fructum nobis adfert aſcenſio Chriſti in cælum?*

Primum, quod in cœlo apud Patrem pro

ὑπάρχει ἀληθινός. καὶ Θεὸς ἀληθινός. κατὰ μὲν οὖν τὴν ἀνθρωπίνην φύσιν, οὐκ ἔστιν ἐν τῷ νῦν ἐπὶ τῆς γῆς· κατὰ δὲ τὴν Θεότητα καὶ μεγαλειότητα, τήν τε χάριν καὶ τὸ Πνεῦμα αὐτοῦ, οὐδέποτε ἀφ' ἡμῶν ἀφίσταται.

48. Οὔκουν τούτῳ τῷ τρόπῳ αἱ δύο ἐν τῷ Χριστῷ φύσεις διασπῶνται, εἴγε ἡ ἀνθρωπότης οὐκ ἔστιν, ὅπου αὖ ἡ Θεότης;

Οὐδαμῶς· ἐπειδὴ γὰρ ἡ Θεότης ἀπερίληπτός ἐστι καὶ ἁπανταχοῦ παροῦσα· ἀκόλουθον ἐξ ἀνάγκης, αὐτὴν ἔξω μὲν τῆς ληφθείσης ἀνθρωπότητος εἶναι, οὐδὲν δ' ἧττον καὶ ἐν αὐτῇ ἐνυπάρχειν, καὶ ὑποστατικῶς αὐτῇ ἑνωθεῖσαν διατελεῖν.

49. Τίνας δὲ ἡμῖν ὠφελείας φέρει ἡ τοῦ Χριστοῦ ἀνάβασις;

Τὸ πρῶτον ὅτι ἐν τῷ οὐρανῷ ὑπὲρ ἡμῶν τὸ

Πατρὶ

Πατρὶ ἐντυγχάνει. Τὸ δεύτερον, ὅτι τὴν ἡμετέραν σάρκα ἐν τῷ οὐρανῷ ἔχομεν, εἰς φερέγγυον πίστωμα, ὡς αὐτὸς οἱονεὶ κεφαλὴ ἡμῶν, ἡμᾶς τὰ μέλη αὐτοῦ σὺν χρόνῳ πρὸς ἑαυτὸν ἀναλήψεται. Τὸ τρίτον, ὅτι ἡμῖν τὸ ἅγιον Πνεῦμα εἰς ἀῤῥαβῶνα καταπέμπει, οὗτινος ἐνεργείᾳ ζητοῦμεν οὐ τὰ κάτω, ἀλλὰ τὰ ἄνω, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος.

50. Διὰ τί δὲ προστίθεται, ὅτι κάθηται ἐν δεξιᾷ τοῦ Πατρός;

Ἐπειδὴ ὁ Χριστὸς ἐπὶ τούτῳ εἰς τὸν οὐρανὸν ἀνέβη, ἵνα ἐκεῖθεν φανερωθῇ τῆς Χριστιανικῆς ἐκκλησίας ὢν κεφαλή, δι᾽ οὗ ὁ Πατὴρ πάντα διοικεῖ.

51. Τί δὲ ἡμῖν ὄφελος παρέχεται αὕτη ἡ μεγαλειότης τῆς κεφαλῆς ἡμῶν Ἰησοῦ Χριστοῦ;

Πρῶτον μὲν, ὅτι διὰ

nobis intercedit. Deinde, quod carnem noſtram in cœlo habemus, ut eo tanquam certo pignore confirmemur, fore, ut ipſe, qui caput noſtrum eſt, nos ſua membra ad ſe extollat. Tertiò, quod nobis ſuum Spiritum mutui pignoris loco mittit, cujus efficaciâ, non terrena, ſed ſuperna quærimus, ubi ipſe eſt ad dexteram Dei ſedens.

DOM. XIX.

50. *Cur additur, Sedet ad dexteram Dei?*

Quia Chriſtus ideo in cœlum aſcendit, ut ſe ibi caput ſuæ Eccleſiæ declararet, per quod Pater omnia gubernat.

51. *Quid nobis prodeſt hæc gloria noſtri capitis Chriſti?*

Primum, quod per

Spiritum ſanctum in nos ſua membra, cœleſtia dona effundit. Deinde, quod nos ſuâ potentiâ contra omnes hoſtes protegit ac defendit.

52. *Quid te conſolatur reditus Chriſti ad judicandum vivos & mortuos?*

Quod in omnibus miſeriis & perſecutionibus, erecto capite, eundem illum qui ſe prius pro me judicio Dei ſtatuit, & maledictionem omnem à me abſtulit, judicem è cœlo expecto, qui omnes ſuos & meos hoſtes in æternas pœnas abjiciat: me vero cum omnibus electis, ad ſe in cœleſtia gaudia, & ſempiternam gloriam traducat.

τοῦ ἁγίου Πνεύματος ἐπ' ἡμᾶς τὰ μέλη αὐτοῦ ἐκχεῖ τὰ ἐπουράνια χαρίσματα. ἔπειτα δὲ, ὅτι ἡμᾶς τῷ αὐτοῦ κράτει κατὰ πάντων τῶν ἀντιπάλων διαφυλάττει τε καὶ διασώζει.

52. Τίνα δέ σοι παρηγορείαν φέρει ἡ τοῦ Χριστοῦ ἐπάνοδος εἰς τὸ κρεῖναι ζῶντας καὶ νεκρούς;

Ἵνα ἐν πάσαις ταῖς θλίψεσι καὶ διώξεσι τὴν κεφαλὴν ἐπαιρόμενος, τὸν αὐτὸν τοῦτον, τὸν πρὸ τοῦ εἰς τὴν τοῦ Θεοῦ κρίσιν ἀντ' ἐμοῦ καταστάντα, καὶ πᾶσαν τὴν κατάραν ἀπ' ἐμοῦ μετενεγκόντα, ἐκ τοῦ οὐρανοῦ δικαστὴν προσδέχωμαι, ἅμα μὲν πάντας τοὺς αὐτοῦ τε καὶ ἐμοῦ ἐχθροὺς εἰς τὰς αἰωνίους τιμωρείας ἀποβαλοῦντα, ἅμα δ' ἐμὲ μετὰ πάντων τῶν ἐκλεκτῶν εἰς τὴν ἐπουράνιον χαρὰν καὶ δόξαν πρὸς ἑαυτὸν μεταναστήσοντα.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Περὶ Θεοῦ τοῦ Ἁγίου Πνεύματος.

53. Τί δὲ πιστεύεις περὶ τοῦ ἁγίου Πνεύματος;

Πρῶτον μὲν, ὅτι Θεός ἐστιν ἀληθινὸς, καὶ συναΐδιος τῷ Πατρὶ καὶ τῷ Υἱῷ. ἔπειτα δὲ, ὅτι καὶ μοὶ ἐδόθη, ὥστε ἐμὲ διὰ ἀληθινῆς πίστεως, τοῦ τε Χριστοῦ, καὶ τῶν εὐεργεσιῶν αὐτοῦ πασῶν κοινωνὸν ποιεῖν, καὶ μετ' ἐμοῦ εἰς τὸν αἰῶνα διαμένειν.

54. Τί δὲ πιστεύεις περὶ τῆς ἁγίας καθολικῆς Χριστοῦ Ἐκκλησίας;

Ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ, ἐκ σύμπαντος τοῦ ἀνθρώπων γένους ἑαυτῷ ἐκκλησίαν, ἐξειλεγμένην εἰς τὴν αἰώνιον ζωὴν, διὰ τοῦ Πνεύματος αὐτοῦ καὶ τοῦ ῥήματος, ἐν ἑνότητι τῆς ἀληθινῆς πίστεως, ἀπὸ τῆς καταβολῆς τοῦ κόσμου, ἕως τῆς τῶν αἰώνων συντελείας,

DE DEO SPIRITU SANCTO.

DOM. XX.

53. *Quid credis de Spiritu Sancto?*

Primum, quod ſit verus & coæternus Deus, cum æterno Patre & Filio: Deinde, quod mihi quoque datus ſit, ut me per veram fidem, Chriſti & omnium ejus beneficiorum participem faciat, me conſoletur, & mecum in æternum maneat.

DOM. XXI.

54. *Quid credis de ſanctâ & catholicâ Chriſti Eccleſiâ?*

Credo Filium Dei, ab initio mundi ad finem uſque, ſibi ex univerſo genere humano, cœtum ad vitam æternam electum, per Spiritum ſuum & verbum, in verâ fide conſentientem, colligere,

tueri, ac ſervare, meque vivum ejus cœtus membrum eſſe, & perpetuo manſurum.

συναθροίζει τε καὶ διαφυλάττει· καὶ ὅτι κἀγὼ ταύτης τῆς ἐκκλησίας ζῶν μέλος εἰμί τε, καὶ εἰς ἀεὶ ἐσόμενος διατελέσω.

55. *Quid ſibi vult communio ſanctorum?*

55. Τί δὲ βούλεται λέγειν ἡ κοινωνία τῶν ἁγίων;

Primum, quod univerſi & ſinguli credentes, Chriſti & omnium ejus bonorum, tanquam ipſius membra communionem habeant. Deinde, quod ſinguli, quæ acceperunt dona, in commune commodum & univerſorum ſalutem prompte & alacriter conferre debeant.

Πρῶτον μὲν, ὅτι πάντες οἱ πιστοὶ, καθόλου τε καὶ καθ᾽ ἕνα, οἱονεὶ μέλη, τοῦ τε κυρίου Ἰησοῦ, καὶ τῶν αὐτοῦ θησαυρῶν καὶ ἀγαθῶν ἁπάντων κοινωνοῦσιν. ἔπειτα δὲ ὅτι ἑνὶ ἑκάστῳ προσήκει, τὰ ἐν αὐτῷ χαρίσματα, πρὸς ὠφέλειαν καὶ σωτηρίαν τῶν ἑτέρων μελῶν, προθύμως καὶ ἀσμένως συνερανίζειν.

56. *Quid credis de remiſſione peccatorum?*

56. Τί δὲ πιστεύεις περὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν;

Deum propter ſatisfactionem Chriſti, meorum peccatorum, atque illius etiam pravitatis, cum quâ mihi per omnem vitam pugnandum eſt, memoriam omnem depoſuiſſe, & me ju-

Ὅτι ὁ Θεὸς, διὰ τὴν ἱκανὴν τοῦ Χριστοῦ ἀπότισιν οὐδεμιᾶς μοι ἁμαρτίας, οὐδ᾽ αὐτῆς ἐμφύτου πονηρίας, πρὸς ἣν μοι διὰ παντὸς τοῦ βίου διαμαχητέον ἐστὶν, οὐδέποτε μνησικακήσειν μέλλει, ἀλλ᾽ ἐμοὶ

ἐμοὶ τὴν τοῦ Χριστοῦ δικαιοσύνην δωρεὰν χαρίζεται, ἵνα εἰς τὴν κρίσιν οὐ μὴ παρέλθωμαι.

57. Τίνας δέ σοι παραμυθίας φέρει ἡ τῆς σαρκὸς ἀνάστασις;

Ὅτι οὐ μόνον ἡ ψυχή μου, εὐθὺς μετὰ τὸ λυθῆναι αὐτὴν ἀπὸ τοῦ θνητοῦ σώματος πρὸς Χριστὸν τὴν κεφαλὴν αὐτῆς ἀναληφθήσεται, ἀλλὰ καὶ ἥδε ἡ σάρξ μου, τῇ τοῦ Χριστοῦ δυνάμει ἐξεγερθεῖσα καὶ ἐξαῦθις τῇ ψυχῇ μου ἑνωθεῖσα, τῷ ἐνδόξῳ τοῦ Χριστοῦ σώματι σύμμορφος γενήσεται

58. Τίνας δὲ παραμυθίας ἀπολαύεις ἐκ τοῦ πιστεύειν ζωὴν αἰώνιον;

Ὅτι, ἐπειδὴ τὰ νῦν ἀρχὴν τῆς αἰωνίου ζωῆς ἐν τῇ καρδίᾳ μου αἰσθάνομαι, μετὰ τόνδε τὸν βίον, ὁλόκληρον τῆς μακαριότητος κτῆσιν λήψομαι· ἣν ὀφθαλμὸς οὐκ εἶδε,

ſtitiâ Chriſti gratis donare, ne unquam in judicium veniam.

DOM. XXII.

57. *Quid te conſolatur reſurrectio carnis?*

Quod non tantum anima mea, poſtquam è corpore exceſſerit, è veſtigio ad Chriſtum caput ſuum aſſumetur: verum quod hæc quoque caro mea, potentiâ Chriſti excitata, rurſus animæ meæ unietur, & glorioſo Chriſti corpori conformabitur.

58. *Quam conſolationem capis ex articulo de vitâ æternâ?*

Quod, quoniam in præſentia vitæ æternæ initia in meo corde præſentiſco, futurum ſit, ut poſt hanc vitam plenâ perfectâque beatitudine potiar, in quâ Deum cum cohæredi-

redibus meis in ſempiternum prædicem; quam quidem beatitudinem nec oculus vidit, nec auris audivit, nec ullus homo cogitatione comprehendit.

DOM. XXIII.

59. *At cum hæc omnia credis, quid utilitatis inde ad te redit?*

Quod in Chriſto juſtus ſum coram Deo, & hæres vitæ æternæ.

60. *Quomodo juſtus es coram Deo?*

Solâ fide verâ in Jeſum Chriſtum, adeo ut, licet mea me conſcientia accuſet, quod adverſus omnia mandata Dei graviter peccaverim, nec ullum eorum ſervaverim, ad hæc etiamnum ad omne malum propenſus ſim, nihilominus tamen, modo hæc beneficia verâ animi fiduciâ amplectar ſine ullo meo merito, ex merâ Dei miſericordiâ, mihi

καὶ οὓς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἵνα ἐν ταύτῃ τῇ εὐκλεείᾳ τὸν Θεὸν μετὰ τῶν συγκληρονόμων εἰς τὸν αἰῶνα δοξάζων διατελῶ.

59. Τί δὲ πλέον ἔχεις ἐκ τοῦ πάντα ταῦτα πιστεύειν;

Τὸ ἐν τῷ Χριστῷ ἐνώπιον τοῦ Θεοῦ δίκαιον ἐμὲ εἶναι, καὶ τῆς αἰωνίου ζωῆς κληρονόμον γεγονέναι.

60. Πῶς δὲ δίκαιος εἶ ἐνώπιον τοῦ Θεοῦ;

Μόνῃ τῇ εἰς Ἰησοῦν Χριστὸν ἀληθινῇ πίστει· ὥστε κἂν ἡ συνείδησις μου κατηγορήσῃ, εἰς πάσας τὰς τοῦ Θεοῦ ἐντολὰς δεινῶς ἡμαρτηκέναι φάσκουσα, καὶ οὐχ ὅπως οὐδεμίαν τούτων πώποτε τετηρηκέναι, ἀλλὰ καὶ ἑκάστοτε εἰς πάντα τὰ κακὰ ἐπιρρεπὴς πεφυκέναι· ὁ Θεὸς μέντοι, χωρὶς πάντων τῶν ἔργων μου, μό-

νῃ

νῃ τῇ αὐτοῦ χάριτι, ἐμοὶ τὴν τέλειον τοῦ Χριστοῦ ἀπότισιν, τήν τε αὐτοῦ δικαιοσύνην καὶ ἁγιότητα δωρεῖταί τε καὶ ἀνατίθεται, ὡς οὐδεμίαν πώποτε ἁμαρτίαν ἢ δεδρακότα ἢ ἐσχηκότα, μᾶλλον δὲ τὴν ὑπακοὴν τὴν ὑπὸ τοῦ Χριστοῦ ἀντ' ἐμοῦ πεπληρωμένην, δι' ἐμαυτοῦ τελείως πεποιηκότα, ἐὰν ἄρα τάσδε τὰς εὐεργεσίας βεβαίᾳ πίστει δέξωμαι.

61. Διὰ τί δὲ φὴς μόνῃ τῇ πίστει δίκαιος εἶναι;

Οὐχ' ὅτι τῇ τῆς πίστεως ἀξίᾳ τῷ Θεῷ ἀρέσκω, ἀλλ' ὅτι μόνη ἡ τοῦ Χριστοῦ ἀπότισις, ἥτ' αὐτοῦ δικαιοσύνη καὶ ἁγιότης, ἡ ἐμὴ παρὰ τῷ Θεῷ δικαιοσύνη ἐστίν· ἐγὼ δὲ ταύτην οὐκ ἄλλως, εἰ μὴ διὰ μόνης τῆς πίστεως δέχεσθαι, καὶ ἐμοὶ προσοικειῶσαι δύναμαι.

62. Διὰ τί δὲ τὰ ἀγαθὰ ἡμῶν ἔργα οὐ δύναται

perfecta ſatisfactio, juſtitia & ſanctitas Chriſti, imputetur ac donetur, perinde ac ſi nec ullum ipſe peccatum admiſiſſem, nec ulla mihi labes inhæreat: imo vero quaſi eam obedientiam, quam pro me Chriſtus præſtitit, ipſe perfecte præſtitiſſem.

61. *Cur ſolâ fide te juſtum eſſe affirmas?*

Non quod dignitate fidei meæ Deo placeam: ſed quod ſola ſatisfactio, juſtitia & ſanctitas Chriſti, mea juſtitia ſit coram Deo: Ego vero eam non aliâ ratione, quam fide amplecti, & mihi applicare queam.

DOM. XXIV.

62. *Cur noſtra bona opera non poſ-*

ſunt eſſe juſtitia, vel pars aliqua juſtitiæ coram Deo?

οὔτε δικαιοσύνη, οὔτε δικαιοσύνης τι μέρος ἐνώπιον τοῦ Θεοῦ λογίζεσθαι;

Propterea quod oportet eam juſtitiam, quæ in judicio Dei conſiſtat, perfectè abſolutam eſſe, & omni ex parte divinæ legi congruentem: Noſtra vero etiam præſtantiſſima quæque opera, in hâc vitâ ſunt imperfecta, atque adeo peccatis inquinata.

Διότι δεῖ τὴν δικαιοσύνην, τὴν ἐν τῇ τοῦ Θεοῦ κρίσει ὑποστῆναι μέλλουσαν, δι᾽ ὅλου τέλειον ὑπάρχειν, καὶ τῷ θείῳ νόμῳ κατὰ πάντα συμφωνεῖν· τὰ δὲ ἡμετέρων ἔργων καὶ τὰ βέλτιστα ἐν τῷδε τῷ βίῳ ἀτελῆ τυγχάνει ὄντα καὶ ταῖς ἁμαρτίαις μεμολυσμένα.

63. *Quomodo bona opera noſtra nihil promerentur, cum Deus & in præſenti & in futurâ vitâ mercedem pro his ſe daturum promittat?*

63. Πῶς δ᾽ οὐδεμία τοῖς ἀγαθοῖς ἡμῶν ἔργοις ἀμοιβὴ ὀφείλεται, ὅπουγε ὁ Θεὸς μισθὸν αὐτοῖς ἔν τε τῇ παρούσῃ καὶ ἐν τῇ μελλούσῃ ζωῇ ἀποδώσειν ὑπισχνεῖται;

Merces ea non datur ex merito, ſed ex gratiâ.

Οὗτος ὁ μισθὸς οὐ κατ᾽ ὀφείλεμα δίδοται, ἀλλὰ κατὰ χάριν.

64. *An non autem hæc doctrina reddit homines ſecuros & profanos?*

64. Οὐχὶ δὲ αὕτη ἡ διδαχὴ ὀλιγώρους καὶ ἀθέους τοὺς ἀνθρώπους ἀπεργάζεται;

Non: neque enim

Οὐδαμῶς· ἀδύνατον

γὰρ

γὰρ τοὺς τῷ Χριστῷ δι' ἀ-
ληθινῆς πίστεως ἐμπεφυ-
τευμένους, οὐ μὴ τοὺς εὐχα-
ριστίας καρποὺς ἐκφέρειν.

Περὶ τῶν ἱερῶν Μυ-
στηρίων, ἢ ἁγίων
Σημείων.

65. Ἐπειδὴ οὖν διὰ
μόνης τῆς πίστεως, τοῦ Χρι-
στοῦ καὶ πάντων τῶν αὐτοῦ ἀ-
γαθῶν μέτοχοι γινόμεθα·
πόθεν ἡ πίστις ἥδε παρα-
γίνεται;

Παρὰ τοῦ ἁγίου Πνεύ-
ματος, ὅπερ αὐτὴν ἐν
ταῖς καρδίαις ἡμῶν, διά
τε τῆς τοῦ εὐαγγελίου κηρύ-
ξεως ἐκζωπυρεῖ, τῇ τῶν
ἁγίων Μυστηρίων χρήσει
στηρίζει.

66. Τί οὖν ἐστι τὰ Μυ-
στήρια;

Ἔστιν ὁρατὰ καὶ ἱερὰ
σύμβολά τε καὶ σφραγί-
σματα. εἰς τοῦτο ὑπὸ τοῦ
Θεοῦ διαταχθέντα, ἵνα
τῇ τούτων χρήσει. αἱ τοῦ
εὐαγγελίου ἐπαγγελίαι

fieri poteſt, ut qui Chri-
ſto per fidem inſiti
ſunt, fructus gratitu-
dinis non proferant.

DE

SACRAMENTIS.

DOM. XXV.

65. *Quoniam igitur ſola fides nos Chriſti atque omnium ejus beneficiorum participes facit: Unde proficiſcitur hæc fides?*

A Spiritu Sancto, qui eam per prædicationem Euangelii in cordibus noſtris accendit, & per uſum Sacramentorum confirmat.

66. *Quid ſunt Sacramenta?*

Sunt ſacra & in oculos incurrentia ſigna ac ſigilla, ob eam cauſam à Deo inſtituta, ut per ea nobis promiſſionem Euangelii magis decla-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ret & obſignet: quod ſcilicet non univerſis tantum, verum etiam ſingulis credentibus, propter unicum illud Chriſti ſacrificium in cruce peractum, gratis donet remiſſionem peccatorum & vitam æternam.

67. *Num utraque igitur, & verbum & ſacramenta eo ſpectant, ut fidem noſtram ad ſacrificium Chriſti in cruce peractum, tanquam ad unicum noſtræ ſalutis fundamentum deducant?*

Ita eſt: Nam Spiritus Sanctus docet Euangelio, & confirmat Sacramentis, omnem noſtram ſalutem poſitam eſſe in unico ſacrificio Chriſti, pro nobis in cruce oblati.

ταῖς διανοίαις ἡμῶν ἐναργέστεραι γίνωνται, καὶ οἷον ἐπισφραγισθῶσιν· ὡς δῆθεν ὁ Θεὸς οὐ καθόλου μόνον, ἀλλὰ καὶ καθ᾽ ἕνα ἑκάστῳ πιστεύοντι διὰ τὴν τοῦ Χριστοῦ προσφορὰν, τὴν ἐφάπαξ ἐπὶ τοῦ σταυροῦ προσενεχθεῖσαν, ἄφεσιν τῶν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον δωρεὰν χαρίζεται.

67. Ἆρ᾽ οὖν ἀμφοτέροιν, τοῦ τε ῥήματος καὶ τῶν μυστηρίων, οὗτος ὁ σκοπός ἐστι, τὸ τὴν πίστιν ἡμῶν ἐπὶ τὴν τοῦ Χριστοῦ προσφορὰν τὴν ἐπὶ τοῦ σταυροῦ ἐπιτελεσθεῖσαν, οἱονεὶ τὸ μόνον τῆς σωτηρίας ἡμῶν θεμέλιον ὁδηγεῖν;

Ναί· τὸ γὰρ ἅγιον Πνεῦμα ἔν τε τῷ εὐαγγελίῳ διδάσκει, καὶ διὰ τῶν ἱερῶν μυστηρίων πληροφορεῖ, ὡς ἡ σωτηρία ἡμῶν ὅλη κεῖται ἐπὶ μόνῃ τῇ τοῦ Χριστοῦ προσφορᾷ, τῇ ἐπὶ τοῦ σταυροῦ συντελεσθείσῃ.

68. Πόσα ἐστὶ Μυστήρια ὁ Χριστὸς ἐν τῇ καινῇ διαθήκῃ διετάξατο;

Δύο· τὸ ἱερὸν Βαπτισμὸν, καὶ τὸ ἱερὸν Δεῖπνον

68. *Quot Sacramenta inſtituit Chriſtus in novo fœdere?*

Duo, ſacrum Baptiſmum, & ſacram Cœnam.

Περὶ τοῦ ἱεροῦ Βαπτισμοῦ.

DE SACRO BAPTISMO.

DOM. XXVI.

69. Πῶς ἐστὶ ὁ Βαπτισμὸς ἀναμιμνήσκει καὶ διασφαλίζει σε, ὅτι μετέχεις τῆς τοῦ Χριστοῦ προσφορᾶς, τῆς ἐφάπαξ ἐπὶ τοῦ σταυροῦ ἐπιτελεσθείσης;

Ὅτι ὁ Χριστὸς τὴν ἐξωτέρω ὑδατολουσίαν διαταξάμενος, ὁμοῦ ἐπηγγείλατο, ὅτι, καθάπερ τῷ ὕδατι τῷ τὰς ἀκαθαρσίας τοῦ σώματος ἀπορρύπτειν πεφυκότι, τὰ ἔξω λέλουμαι· τὸν αὐτὸν τρόπον καὶ τῷ αἵματι αὐτοῦ καὶ Πνεύματι, πάντα τὸν τῆς ψυχῆς ῥύπον, τοῦτ᾽ ἔστι, πάντα τὰ ἁμαρτήματά μου, ἀποκεκάθαρμαι.

69. *Quâ ratione in Baptiſmo admoneris & confirmaris, te unici illius Sacrificii Chriſti participem eſſe?*

Quod Chriſtus externum aquæ lavacrum mandavit, additâ hâc promiſſione, me non minus certo ipſius ſanguine & Spiritu à ſordibus animæ, hoc eſt, ab omnibus meis peccatis, lavari: quam aquâ extrinſecus ablutus ſum, quâ ſordes corporis expurgari ſolent.

70. Τί δὲ σημαίνει,

70. *Quid eſt ſanguine*

guine & Spiritu Chriſti ablui?

τὸ τοῦ Χριστοῦ αἵματι καὶ Πνεύματι λούεσθαι;

Eſt accipere à Deo remiſſionem peccatorum gratis, propter ſanguinem Chriſti, quem is pro nobis in ſuo ſacrificio in cruce profudit. Deinde etiam per Spiritum Sanctum renovari, & ipſo ſanctificante, membrum Chriſti fieri, quo magis ac magis peccatis moriamur, & ſancte inculpateque vivamus.

Δηλοῖ τό τε τῶν ἁμαρτιῶν ἄφεσιν παρὰ τοῦ Θεοῦ δωρεὰν λαμβάνειν διὰ τὸ τοῦ Χριστοῦ αἷμα, τὸ ὑπ' αὐτοῦ ἐν τῇ ἐπὶ τοῦ σταυροῦ προσφορᾷ ὑπὲρ ἡμῶν ἐκκεχυμένον· καὶ τὸ τῷ ἁγίῳ Πνεύματι ἀνακαινοῦσθαι, καὶ εἰς τίμιον τοῦ Χριστοῦ μέλος ἁγιάζεσθαι, ἵνα ταῖς ἁμαρτίαις ἀποθνήσκοντες, ἐν θεοσεβεῖ καὶ ἀνεπιλήπτῳ βίῳ περιπατοῦντες διατελῶμεν.

71. *Ubi promiſit Chriſtus, ſe nos tam certo ſanguine & Spiritu ſuo ablutūrum, quam aquâ Baptiſmi abluti ſumus?*

71. Ποῦ δὲ ὑπέσχηται ὁ Χριστὸς ὡς ἰσολόγως τῷ τε τοῦ Βαπτίσματος ὕδατι τὰ σώματα, καὶ τῷ αὐτοῦ αἵματι καὶ Πνεύματι τὰς ψυχὰς κεκαθαρίσμεθα;

In inſtitutione Baptiſmi, cujus hæc ſunt verba: Ite, & docete omnes gentes, baptizantes eos, in nomine Patris, & Filii, & Spiritus Sancti: Qui cre-

Ἐν τῇ τοῦ Βαπτισμοῦ διατάξει, λέγων· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· ὁ πι-

στεύσας

στεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Καὶ αὕτη ἡ ἐπαγγελία ἐπαναπολεῖται ὅτε ἡ γραφὴ τὸν Βαπτισμὸν καλεῖ λουτρὸν τῆς παλιγγενεσίας, καὶ ἀπόλουσιν τῶν ἁμαρτιῶν.

72. Ἆρ᾽ οὖν ἡ ἔξω ὑδατολουσία ἐστὶν αὐτὴ ἡ τῶν ἁμαρτιῶν ἀπόλουσις;

Οὔ· τὸ γὰρ μόνον τοῦ Ἰησοῦ Χριστοῦ αἷμα καὶ τὸ ἅγιον Πνεῦμα καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

73. Διὰ τί οὖν τὸ ἅγιον Πνεῦμα τὸν Βαπτισμὸν καλεῖ λουτρὸν τῆς παλιγγενεσίας, καὶ ἀπόλουσιν τῶν ἁμαρτιῶν;

Ὁ Θεὸς οὐκ ἄνευ ἀξιολόγου αἰτίας οὕτω λαλεῖ· οὐ γὰρ μόνον ταύταις ταῖς φράσεσι διδάσκειν βούλεται, ὅτι καθάπερ ὁ τοῦ σώματος ῥύπος τῷ ὕδατι, οὕτω καὶ τὰ ἁμαρτήματα ἡμῶν, τῷ τοῦ Χρι-

diderit & baptizatus fuerit, ſervabitur: qui non crediderit, condemnabitur. Hæc promiſſio repetitur, cum Scriptura Baptiſmum nominat lavacrum regenerationis, & ablutionem peccatorum.

Dom. XXVII.

72. *Eſt ne ergo externus Baptiſmus aquæ ipſa peccatorum ablutio?*

Non eſt: Nam ſolus ſanguis Jeſu Chriſti, & Spiritus ſanctus purgat nos ab omni peccato.

73. *Cur ergo Spiritus ſanctus Baptiſmum appellat lavacrum regenerationis, & ablutionem peccatorum?*

Deus non ſine gravi causâ ſic loquitur, videlicet non ſolum ut nos doceat, quemadmodum ſordes corporis aquâ purgantur, ſic peccata noſtra ſan-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

guine & Spiritu Chriſti expiari : Verum multo magis, ut nobis hoc divino ſymbolo ac pignore certum faciat, nos non minus vere à peccatis noſtris internâ lotione ablui, quam externâ & viſibili aquâ abluti ſumus.

στοῦ αἵματι καὶ Πνεύματι ἀφανίζεται· ἀλλὰ πολὺ μᾶλλον τῷ θείῳ συμβόλῳ τῷ τε καὶ ἐνεχύρῳ πληροφορεῖν ἡμᾶς θέλει, ὡς οὐχ ἧττον ἀληθῶς τῇ πνευματικῇ λουστρᾳ τὰς ψυχὰς, ἢ τῇ ὑδατίνῃ τὰ σώματα ἀπελουσάμεθα.

74. *Sunt-ne etjam infantes baptizandi?*

74. Ἀλλ᾽ ἆρα καὶ τὰ βρέφη βαπτιστέον;

Omnino : Nam cum æque atque adulti ad fœdus & Eccleſiam Dei pertineant : cumque eis per ſanguinem Chriſti, remiſſio peccatorum, & Spiritus Sanctus fidei effector, non minus quam adultis promittatur : per Baptiſmum ceu fœderis ſignaculum Eccleſiæ Dei inſerendi ſunt, & ab infidelium liberis diſcernendi, itidem ut in veteri fœdere per Circumciſionem

Πάνυγε· ἐπειδὴ γὰρ ἐξ ἴσου τοῖς ἐν ἡλικίᾳ τῆς τοῦ Θεοῦ διαθήκης, τῆς τ᾽ αὐτοῦ Ἐκκλησίας κοινωνοῦσι, καὶ αὐτοῖς ἐν τῷ τοῦ Χριστοῦ αἵματι, ἥ τε τῶν ἁμαρτιῶν ἄφεσις, καὶ τὸ ἅγιον Πνεῦμα, τὸ τὴν πίστιν ἐν ταῖς καρδίαις ἐργαζόμενον, οὐχ ἧττον ἢ τοῖς ἐν ἡλικίᾳ ἐπαγγέλλεται· δεῖ αὐτὰ καὶ διὰ τοῦ Βαπτισμοῦ τοῦ τῆς διαθήκης συμβόλου, τῇ Χριστιανῶν Ἐκκλησίᾳ ἐνσωματοῦσθαι, καὶ ἀπὸ τῆς τῶν ἀπίστων γονῆς διακρίνεσθαι, καθάπερ ἐν τῇ παλαιᾷ διαθήκῃ διὰ τῆς Περιτομῆς γέγο-

γέγονεν, ἢ ὁ Βαπτισμὸς ἐν τῇ καινῇ διαθήκῃ ἀντικατέστη.

Περὶ τοῦ κυριακοῦ Δείπνου.

75. Πῶς δὲ τὸ ἱερὸν Δεῖπνον ἀναμιμνήσκει, καὶ διασφαλίζει σε, ὅτι μετέχεις τῆς τοῦ Χριστοῦ προσφορᾶς, τῆς ἐφάπαξ ἐπὶ τοῦ σταυροῦ ἐπιτελεσθείσης, καὶ τῶν λοιπῶν αὐτοῦ ἀγαθῶν ἁπάντων;

Ὅτι ὁ Χριστὸς, ἐμὲ σὺν πᾶσι τοῖς πιστοῖς, τοῦ ἄρτου, τοῦ ἡμῖν κλωμένου, φαγεῖν, καὶ τοῦ ποτηρίου πίνειν κελεύσας εἰς τὴν αὐτοῦ ἀνάμνησιν, ταῦτα προσέθηκεν ἐπαγγέλματα· πρῶτον μὲν τότε σῶμα αὐτοῦ οὕτως ἀληθῶς ὑπὲρ ἐμοῦ ἐπὶ τοῦ σταυροῦ προσενηνέχθαι καὶ κεκλάσθαι, καὶ τὸ αἷμα αὐτοῦ ἐκκεχύσθαι, ὡς τοῖς ὄμμασί μου ὁρῶ, τὸν τοῦ Κυρίου ἄρτον ἐμοὶ κατακλᾶσθαι, καὶ

fiebat, cui in novo fœdere ſubſtitutus eſt Baptiſmus.

DE SACRA DOMINI COENA.

DOM. XXVIII.

75. *Quâ ratione in Cœnâ Domini admoneris & confirmaris, te unici illius ſacrificii Chriſti in cruce oblati, atque omnium ejus bonorum participem eſſe?*

Quod Chriſtus me atque omnes fideles de hoc fracto pane edere, & de poculo diſtributo bibere juſſit, in ſui memoriam, additis his promiſſis: Primum, corpus ſuum non minus certo pro me in cruce oblatum ac fractum, ſanguinemque ſuum pro me fuſum eſſe; quam oculis cerno, panem Domini mihi frangi, & pocu-

poculum mihi communicari. Deinde, animam meam non minus certo ipſius corpore, quod pro nobis crucifixum, & ſanguine, qui pro nobis fuſus eſt, ad vitam æternam ab ipſo paſci: quam panem & vinum, ſymbola corporis & ſanguinis Domini è manu miniſtri accepta, ore corporis percipio.

76. *Quid eſt crucifixum corpus Chriſti edere, & fuſum ejus ſanguinem libere?*

Eſt non tantum totam paſſionem & mortem Chriſti, certâ animi fiduciâ amplecti, ac per id remiſſionem peccatorum & vitam æternam adipiſci· ſed etiam per Spiritum Sanctum, qui ſimul in Chriſto & in nobis habitat, ita ſacroſancto

τὸ ποτήριον συμμεταδίδοσθαι· ἔπειτα δὲ αὐτὸν τῷ σταυρωθέντι αὐτοῦ σώματι, καὶ τῷ ἐκχυθέντι αἵματι τὴν ψυχήν μου, οὕτως ἀληθῶς εἰς τὴν αἰώνιον ζωὴν σιτίζειν καὶ ποτίζειν, ὡς ἐγὼ ἐκ τῆς τοῦ διακόνου χειρὸς λαμβάνω, καὶ σωματικῶς συμμέτοχός εἰμι τοῦ τε ἄρτου καὶ τοῦ ποτηρίου τοῦ κυριακοῦ, ἅπερ ἐμοὶ ὡς ἐχέγγυα σύμβολα τοῦ τε σώματος καὶ τοῦ αἵματος τοῦ κυριακοῦ μεταδίδοται.

76 Τί ἐστι τὸ σταυρωθὲν τοῦ Χριστοῦ σῶμα ἐσθίειν, καὶ τὸ ἐκχυθὲν αὐτοῦ αἷμα πίνειν;

Οὐ μόνον ἐστὶ τὸν τοῦ Χριστοῦ θάνατον καὶ τὰ παθήματα αὐτοῦ σύμπαντα βεβαίᾳ πίστει δέχεσθαι, καὶ δι᾽ αὐτῶν τῆς τε ἁμαρτιῶν ἀφέσεως καὶ τῆς αἰωνίου ζωῆς μετέχειν· ἀλλὰ καὶ πρὸς τούτοις διὰ τοῦ ἁγίου Πνεύματος, τοῦ ἅμα ἔν τε τῷ Χριστῷ καὶ ἐν ἡμῖν ἐνοικοῦντος, τῷ εὐλογητῷ

γητῷ αὐτοῦ σώματι οὕτω
καθ᾽ ἡμέραν ἑνοῦσθαι. ὥστε
κἂν αὐτὸς ἐν τῷ οὐρανῷ
ἄνω, ἡμεῖς δ᾽ ἐπὶ τῆς γῆς
κάτω τυγχάνομεν ὄντες,
ὅμως σάρξ ἐσμεν ἐκ τῆς
σαρκὸς αὐτοῦ, καὶ ὀστᾶ ἐκ τῶν
ὀστέων αὐτοῦ, καὶ ὥσπερ τὰ
τοῦ σώματος μέλη ὑπὸ
μιᾶς καὶ τῆς αὐτῆς ψυχῆς.
οὕτω καὶ ἡμεῖς ὑφ᾽ ἑνὸς τοῦ
αὐτοῦ Πνεύματος ζωοποι-
ούμεθα καὶ κυβερνώμεθα.

77. Ποῦ δὲ ὁ Χριστὸς
ὑπέσχηται, τοὺς πιστεύον-
τας τῷ αὐτοῦ σώματι καὶ
αἵματι οὕτως ἀληθῶς σι-
τίζειν καὶ ποτίζειν ὡς τοῦ ἄρ-
του τοῦ κλωμένου ἐσθίουσι
καὶ τοῦ ποτηρίου πίνουσι;

Ἐν τῇ τοῦ ἱεροῦ Δείπνου
διατάξει. ταῖς δὲ ταῖς λέ-
ξεσιν· Ὁ Κύριος Ἰησοῦς
ἐν τῇ νυκτὶ, ᾗ παρεδίδο-
το, ἔλαβεν ἄρτον καὶ εὐ-
χαριστήσας ἔκλασε, καὶ
εἶπε· Λάβετε, φάγετε τοῦ-
τό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ
ὑμῶν κλώμενον· τοῦτο

ejus corpori magis ac magis uniri, ut quamvis ipſe in cœlo, nos vero in terrâ ſimus; nihilominus tamen caro ſimus de carne ejus, & os de oſſibus ejus: Utque omnia corporis membra ab unâ animâ, ſic nos uno eodemque Spiritu vivificemur & gubernemur.

77. Quo loco promiſit Chriſtus, ſe credentibus tam certo corpus & ſanguinem ſuum ſic edendum & bibendum daturum, quam fractum hunc panem edunt, & poculum hoc bibunt?

In inſtitutione Cœnæ cujus hæc ſunt verba: Dominus noſter Jeſus Chriſtus, eâ nocte quâ proditus eſt, accepit panem: & gratiis actis, fregit ac dixit: accipite, comedite, hoc eſt corpus meum, quod pro vobis frangitur: hoc facite

cite in mei recordationem. Itidem & poculum, poſtquam cœnaſſent, dicens: Hoc poculum eſt novum fœdus per meum ſanguinem: Hoc facite, quotieſcunque biberitis, in mei recordationem. Quotieſcunque enim ederitis panem hunc, & poculum hoc biberitis, mortem Domini annunciate, donec venerit. Hæc promiſſio à Paulo repetitur, cum inquit: Poculum gratiarum actionis, quo gratias agimus, nonne communio eſt ſanguinis Chriſti? Panis, quem frangimus, nonne communio eſt corporis Chriſti? quoniam unus panis, unum corpus multi ſumus; nam omnes unius panis participes ſumus.

ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. Καὶ αὕτη ἡ ἐπαγγελία ἐπαναπολεῖται ὑπὸ Παύλου τοῦ Ἀποστόλου, ὅτε φησί· Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν; τὸν ἄρτον, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.

DOM. XXIX.

78. *Num ergo panis & vinum fiunt ipſum corpus & ſanguis Chriſti?*

78. Ἆρ' οὖν ὁ ἄρτος καὶ ὁ οἶνος εἰς τὸ τοῦ Χριστοῦ σῶμα καὶ αἷμα μεθουσιοῦνται;

Οὐδα-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Οὐδαμῶς· ἀλλ᾽ ὥσπερ τὸ ὕδωρ ἐν τῷ Βαπτισμῷ οὐκ εἰς τὸ τοῦ Χριστοῦ αἷμα μεταβάλλεται, οὔτε γίνεται αὐτὴ ἡ τῶν ἁμαρτιῶν ἄφεσις ὧνπερ μόνον ἐστὶ θεῖόν τι σύμβολον καὶ σφραγίς· οὕτω καὶ ὁ ἱερὸς ἄρτος ἐν τῷ κυριακῷ Δείπνῳ οὐ γίνεται αὐτὸ τὸ τοῦ Χριστοῦ σῶμα· καίπερ κατὰ τὴν τῶν Μυστηρίων φύσιν καὶ τὴν συνήθη τῷ ἁγίῳ Πνεύματι περὶ τούτων φράσιν, ὁ ἄρτος τοῦ Χριστοῦ σῶμα ὀνομάζεται.

Nequaquam: verum, ut aqua Baptiſmi in ſanguinem Chriſti non convertitur, nec eſt ipſa peccatorum ablutio, ſed ſymbolum tantum & pignus earum rerum, quæ nobis in Baptiſmo obſignantur; ita nec panis Cœnæ dominicæ eſt ipſum corpus Chriſti: quamquam pro ratione Sacramentorum, & uſitatâ Spiritui Sancto de his loquendi formâ, panis Chriſti corpus appellatur.

79. Διὰ τί οὖν ὁ Χριστὸς τὸν ἄρτον καλεῖ τὸ αὐτοῦ σῶμα, καὶ τὸ ποτήριον τὸ αὐτοῦ αἷμα, εἴτ᾽ οὖν τὴν καινὴν διαθήκην ἐν τῷ αὐτοῦ αἵματι· καὶ ὁ ἅγιος Παῦλος, τὴν καὶ κοινωνίαν τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ;

79. *Cur ergo Chriſtus panem appellat ſuum corpus, calicem vero ſuum ſanguinem, ſeu novum fœdus per ſuum ſanguinem: Paulus item panem & vinum communionem corporis & ſanguinis Chriſti?*

Ὁ Χριστὸς οὐκ ἄνευ ἀξιολόγου αἰτίας οὕτω λαλεῖ· οὐ γὰρ μόνον ταύτῃ τῇ φράσει διδάσκειν ἡμᾶς

Chriſtus non ſine gravi cauſâ ſic loquitur: videlicet, non ſolum

lum ut nos doceat, quemadmodum panis & vinum corporis vitam ſuſtentant: ſic etjam crucifixum ſuum corpus & effuſum ſuum ſanguinem, vere eſſe animæ noſtræ cibum ac potum, quo ad vitam æternam nutriatur: Verum multo magis, ut hoc viſibili ſigno ac pignore nobis certum faciat, nos non minus vere corporis & ſanguinis ſui, per operationem Spiritus ſancti, participes eſſe, quam ſacra iſta ſymbola, in ejus memoriam, ore corporis percipimus: Tum etiam, quod ejus paſſio & obedientia tam certo noſtra ſit, quam ſi ipſimet pro noſtris peccatis pœnas dediſſemus, & Deo ſatisfeciſſemus.

θέλει, ὅτι καθάπερ ὁ ἄρτος καὶ οἶνος τὴν πρόσκαιρον ζωὴν τοῦ σώματος διατρέφει· οὕτω καὶ τὸ σταυρωθὲν αὐτοῦ σῶμα καὶ τὸ ἐκχυθὲν αὐτοῦ αἷμα, ἡ ἀληθινὴ τῆς ψυχῆς ἡμῶν πρὸς τὴν αἰώνιον ζωὴν τροφή ἐστιν· ἀλλὰ πολὺ μᾶλλον τῷ ὁρατῷ συμβόλῳ τῷδε καὶ ἐνεχύρῳ ἀσφαλίζειν ἡμᾶς βούλεται, ὅτι οὐχ ἧττον ἀληθῶς τὸ ἀληθινὸν αὐτοῦ σῶμα καὶ αἷμα, διὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐνεργείας μεταλαμβανόμεθα, ἢ τὰ ἱερὰ τάδε σύμβολα τῷ τοῦ σώματος στόματι εἰς τὴν αὐτοῦ ἀνάμνησιν δεχόμεθα· ἔτι δὲ τὰ παθήματα αὐτοῦ πάντα, καὶ τὴν ὑπακοὴν αὐτοῦ πᾶσαν, οὕτως ἡμῖν ἐξιδιωθῆναι ὡς εἰ ἡμεῖς αὐτοὶ πάντα πεπονθότες τε καὶ ἀξιοχρέως δίκας ἐκτετελεκότες τύχοιμεν.

Dom. XXX.

80. *Quid intereſt inter Cœnam Do-*

80. Τί δὲ ἡ Παπαϊκὴ ἱερουργία, ἡ Μίσσα λε-

γομέ-

[illegible]ρή, τοῦ κυριακοῦ Δείπνου διαφέρει;

Τὸ κυριακὸν δεῖπνον μαρτυρεῖ ἡμῖν ὅτι ἔχομεν ὁλόκληρον πάντων τῶν ἁμαρτημάτων ἄφεσιν, διὰ μόνην τὴν τοῦ Χριστοῦ προσφορὰν, τὴν ἐφάπαξ ὑπ' αὐτοῦ ἐπὶ τοῦ σταυροῦ συντελεσθεῖσαν· καὶ ὅτι διὰ τοῦ ἁγίου Πνεύματος τῷ Χριστῷ ἐνσωματούμεθα, ὃς κατὰ νῦν, κατὰ τὴν ἀνθρωπίνην φύσιν, ἐν τῷ οὐρανῷ μόνον πρὸς τῇ δεξιᾷ τοῦ Πατρὸς καθίζει, καὶ αὐτόθι προσκυνεῖσθαι βούλεται. Ἐν δὲ τῇ Μίσσᾳ ἀρνεῖται, ὅτι οἵ τε ζῶντες καὶ οἱ θανόντες τῆς τῶν ἁμαρτιῶν ἀφέσεως διὰ τὰ τοῦ Χριστοῦ παθήματα τυγχάνουσιν, ἐὰν μὴ καθ᾽ ἡμέραν ὑπὸ τῶν ἱερουργῶν προσενεχθῇ ὁ Χριστός· ἔτι δὲ διδάσκεται, ὅτι ὁ Χριστὸς ὑπὸ τῷ σχήματι τοῦ ἄρτου καὶ τοῦ οἴνου σωματικῶς ὢν διατελεῖ καὶ διὰ τοῦτο ἐν αὐτοῖς προσκυνεῖσθαι ὀφείλει.

mini, & Miſſam Papiſticam?

Cœna Domini nobis teſtatur, nos perfectam remiſſionem omnium noſtrorum peccatorum habere, propter unicum illud Chriſti ſacrificium, quod ipſemet ſemel in cruce peregit: Tum etiam nos per Spiritum Sanctum inſeri Chriſto, qui jam ſecundum naturam ſuam humanam tantum in cœlis eſt ad dextram Patris, ibique vult à nobis adorari.

In Miſsâ autem negatur, vivos & mortuos habere remiſſionem peccatorum propter unicam Chriſti paſſionem, niſi etiamnum quotidie Chriſtus pro ipſis à Sacrificulis offeratur: Tum etiam docetur, Chriſtum corporaliter ſub ſpeciebus panis & vini eſſe, ideoque in illis adorandum eſſe.

Atque

Atque ita ipſum Miſſæ fundamentum nihil aliud eſt, quam abnegatio unici illius ſacrificii & paſſionis Jeſu Chriſti, & execranda idololatria.

81. *Quibus accedendum eſt ad menſam Domini?*

Iis tantum, qui vere dolent ſe ſuis peccatis Deum offendiſſe: confidunt autem ſibi ea propter Chriſtum remiſſa eſſe: & quas reliquas habent infirmitates, eas paſſione & morte illius objectas eſſe, magiſque ac magis deſiderant in fide & integritate vitæ proficere: Hypocritæ autem, & qui non vere reſipiſcunt, damnationem ſibi edunt & bibunt.

82. *Sunt ne illi etiam ad hanc Cœnam admittendi, qui confeſſione &*

διόπερ ἡ λειτουργία ἥδε, οὐκ ἔστιν ἄλλο, ἢ ἐξάρνησις τῆς προσφορᾶς καὶ τῶν παθημάτων Ἰησοῦ τοῦ Χριστοῦ, τοῦ ἐφάπαξ ἐπὶ τοῦ σταυροῦ πεπαθημένου, καὶ παρὰ τοῦτο, βδελυρὰ ἐστὶν εἰδωλολατρεία.

81. Τίσι δὲ τοῦ κυριακοῦ Δείπνου μεταλαμβάνειν ἔξεστι;

Ὅσοι αὐτοὶ ἑαυτοῖς ἐπὶ ταῖς ἁμαρτίαις ἀπαρέσκουσιν, ἀφεῖσθαι μέντοι αὐτοὺς διὰ τὸν Χριστὸν πιστεύουσι, καὶ τὸ τῆς ἀσθενείας ὑπόλοιπον τοῖς τοῦ Χριστοῦ παθήμασι καὶ θανάτῳ ἐπικαλύπτεσθαι πείθοντες· τήν τε πίστιν αὐτῶν μᾶλλον ἀεὶ ἐπιῤῥῶσαι καὶ τὸν βίον ἐπανορθῶσαι σπουδὴν ποιοῦσιν· οἱ δ᾽ ἀμεταμέλητοι καὶ ὑποκριταὶ, κρίμα ἑαυτοῖς ἐσθίουσι καὶ πίνουσι.

82. Ἀλλ᾽ ἄρα καὶ τούτους προσετέον, ὅσοι τῇ τε ἐξομολογήσει καὶ τῷ

βίῳ

βίῳ ἄπιστοι καὶ ἀσεβεῖς ὄντες δηλοῦσιν;

vitâ ſe infideles & impios eſſe declarant?

Οὔ· καὶ γὰρ τούτῳ τῷ τρόπῳ ἥτε τοῦ Θεοῦ διαθήκη βεβηλοῦται καὶ ἡ ὀργὴ αὐτοῦ καθ' ὅλης τῆς Ἐκκλησίας παροξύνεται· διόπερ ἡ Ἐκκλησία, κατὰ τὴν τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων διαταγὴν, τοὺς τοιούτους, ταῖς τῶν οὐρανῶν κλεισὶ χρωμένη, τῆς κυριακῆς τραπέζης εἴργειν ὀφείλει, ἕως οὗ μετανοήσαντες, τοὺς τρόπους ἐπανορθώσωσι.

Nequaquam: Nam eo pacto fœdus Dei profanatur, & ira Dei in univerſum cœtum concitatur: Quocirca Eccleſia, ex præſcripto Chriſti & Apoſtolorum, clavibus regni cœlorum utens, hos à Cœnâ arcere debet, quoad reſipuerint, & mores mutaverint.

DOM. XXXI.

83. Τίνες οὖν εἰσὶν αἱ τῶν οὐρανῶν κλεῖδες;

83. *Quid ſunt claves regni cœlorum?*

Ἡ κήρυξις τοῦ ἁγίου Εὐαγγελίου, καὶ ἡ Ἐκκλησιαστικὴ παιδαγωγία· δι' ἀμφοῖν γὰρ τούτοιν ἡ τῶν οὐρανῶν βασιλεία τοῖς τε πιστοῖς ἀνοίγεται, καὶ τοῖς ἀπίστοις κλείεται.

Prædicatio Euangelii, & Eccleſiaſtica diſciplina, quibus cœlum credentibus aperitur, infidelibus autem clauditur.

84. Πῶς οὖν ἡ τῶν οὐρανῶν βασιλεία διὰ τῆς τοῦ Εὐαγγελίου κηρύξεως ἀνοίγεταί τε καὶ κλείεται;

84. *Quo pacto aperitur & clauditur regnum cœlorum prædicatione Euangelii?*

Cum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Cum ex mandato Chriſti credentibus univerſis & ſingulis, publice annunciatur omnia peccata ipſis divinitus propter meritum Chriſti condonari, quoties promiſſionem Euangelii verâ fide amplectuntur: Contra vero omnibus infidelibus & hypocritis denunciatur, tantiſper ipſis iram Dei & æternam condemnationem incumbere, dum in ſuis ſceleribus perſeverant: ſecundum quod Euangelii teſtimonium, Deus tam in præſenti, quam in futurâ vitâ judicaturus eſt.

85. *Quo pacto clauditur & aperitur regnum cælorum per diſciplinam Eccleſiaſticam?*

Cum ex mandato Chriſti ii, qui nomine quidem ſunt Chriſtiani, verum doctrinâ aut vitâ ſe oſtendunt

Ὅτε κατὰ τὴν τοῦ Χριστοῦ ἐπιταγὴν, τοῖς μὲν πιστοῖς σύμπασί τε καὶ ἑνὶ ἑκάστῳ, ἀναγγέλλεται ὁσάκις αὐτοὶ τὰς τοῦ Εὐαγγελίου ὑποσχέσεις ἀληθινῇ πίστει δέξωνται, τὰς ἁμαρτίας αὐτοῖς πάσας, διὰ τὴν τοῦ Χριστοῦ ἀξίαν ὑπὸ τοῦ Θεοῦ ὁλοσχερῶς ἀφεῖσθαι· τοῖς δὲ ἀπίστοις καὶ ὑποκριταῖς τοὐναντίον καταγγέλλεται, τὴν Θεοῦ ὀργὴν, καὶ τὰς τ' αἰωνίους τιμωρίας αὐτοῖς ἐπικεῖσθαι, ἄχρις ἂν ἐπιστρέψωσι· κατὰ ταύτην γὰρ τοῦ Εὐαγγελίου διαμαρτυρίαν, ὁ Θεὸς ἔν τε τῇ παρούσῃ καὶ ἐν τῇ μελλούσῃ ζωῇ τὰς κρίσεις ποιήσειν μέλλει.

85 Πῶς δὲ διὰ τῆς ἐκκλησιαστικῆς παιδαγωγίας ἀνοίγεται καὶ κλείεται ἡ βασιλεία τῶν οὐρανῶν;

Ὅταν κατὰ τὴν τοῦ Χριστοῦ ἐντολὴν, οἱ ὀνόματι μὲν Χριστιανοὶ εἶναι φάσκοντες, τῇ διδαχῇ δὲ, ἢ τῷ βίῳ

βίῳ ἀλλότριοι εἶναι δεικνυῶντες, ἐπειδὴ ἐνιάκις ἀδελφικαῖς νουθεσίαις παραινεθέντες, τῆς πλάνης ἢ κακίας ἀποστῆναι ἀμελοῦσι, τῇ Ἐκκλησίᾳ, ἢ τοῖς ὑπὸ τῆς Ἐκκλησίας ἐπὶ τούτῳ τεταγμένοις μηνύονται· καὶ οὐδὲ τὴν τούτων νουθεσίαν ἐντραπέντες, ὑπ' αὐτῶν μὲν, τῇ τῶν ἱερῶν Μυστηρίων ἀπαγορεύσει, τῆς Χριστιανῶν κοινωνίας εἴργονται. ὑπ' αὐτοῦ δὲ τοῦ Θεοῦ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐκκλείονται· καὶ ἀνάπαλιν, ἐὰν ἐπιστροφὴν τοῖς τε λόγοις ὑπόσχωνται, καὶ τοῖς ἔργοις ἐπιδείξωσιν, ὡς τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας μέλη ἀναδεχθῶσι.

Τὸ τρίτον τμῆμα.

Περὶ τῆς Εὐχαριστίας.

86. Ἐπειδήπερ οὖν τῆς ἁμαρτίας καὶ ταλαιπωρίας ἁπάσης, χωρὶς τῆς

à Chriſto alienos, poſtquam aliquoties fraterne admoniti, ab erroribus aut flagitiis diſcedere nolunt, Eccleſiæ indicantur, aut iis, qui ab Eccleſiâ ad eam rem ſunt conſtituti: ac ſi ne horum quidem admonitioni pareant: ab iiſdem interdictione Sacramentorum, ex cœtu Eccleſiæ, & ab ipſo Deo, ex regno Chriſti excluduntur: ac rurſum, ſi emendationem profiteantur, & reipſâ declarent, tanquam Chriſti & Eccleſiæ membra recipiuntur.

Tertia Pars.

DE GRATITUDINE.

DOM. XXXII.

86. *Cum ab omnibus peccatis & miſeriis, ſine ullo no-*

ſtro merito, ſolâ Dei miſericordiâ, per Chriſtum liberati ſimus, quid eſt cur bona opera faciamus?

ἡμῶν ἀξίας, τῇ Θεοῦ χάριτι, διὰ τοῦ Χριστοῦ ἀπηλλάγμεθα, τί καὶ δεῖ ἀγαθὰ ποιεῖν ἔργα;

Quia poſtquam nos Chriſtus ſuo ſanguine redemit, renovat nos quoque ſuo Spiritu ad imaginem ſui, ut tantis beneficiis affecti, in omni vitâ nos erga Deum gratos declaremus, & ipſe per nos celebretur. Deinde, ut nos quoque ex fructibus de ſuâ quiſque fide certi ſimus. Poſtremo, ut vitæ noſtræ integritate alios Chriſto lucrifaciamus.

Διότι ὁ Χριστὸς μετὰ τὸ ἡμᾶς τῷ ἰδίῳ αἵματι ἐξαγοράσαι, ἡμᾶς καὶ τῷ ἁγίῳ Πνεύματι εἰς τὴν αὐτοῦ εἰκόνα ἀνακαινοῖ, ἵνα διὰ παντὸς τοῦ βίου, τῷ Θεῷ ὑπὲρ τῶν δὲ τῶν εὐεργεσιῶν εὐχαριστοῦντες φανώμεθα, καὶ αὐτὸς δι' ἡμῶν δοξασθῇ. ἔπειτα δὲ, ἵνα αὐτοὶ ἐν αὐτοῖς περὶ τῆς ἰδίας πίστεως, ἐκ τῶν καρπῶν αὐτῆς, πληροφορίαν ἕκαστος λάβωμεν. πρὸς τούτοις, ἵνα διὰ εὐσεβοῦς ἀναστροφῆς καὶ τοὺς πλησίον τῷ Χριστῷ κερδαίνωμεν.

87. *Non poſſunt igitur illi ſervari, qui ingrati, & in peccatis ſecure perſiſtentes, à ſuâ pravitate ad Deum non convertuntur?*

87. Οὔκουν σώζεσθαι δύνανται οἱ ἀπ' ἀχαρίστου καὶ ἀμεταμελήτου βίου πρὸς τὸν Θεὸν οὐ μὴ ἐπιστρέφοντες;

Nullo modo: Nam, ut Scriptura teſtatur,

Οὐδαμῶς· οὐ γὰρ, ὡς ἡ γραφὴ διαμαρτύρεται,

οὔτε

οὔτε ἀκάθαρτοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὔτε λοίδοροι, οὔτε ἅρπαγες, βασιλείαν Θεοῦ κληρονομήσουσι.

88. Πόσα δὲ τῆς ἀληθινῆς μετανοίας, εἴτ' οὖν ἐπιστροφῆς, μέρη ἐστί;

Δύο· ἡ τοῦ παλαιοῦ ἀνθρώπου νέκρωσις, καὶ ἡ τοῦ καινοῦ ζωοποίησις.

89. Τί ἐστιν ἡ τοῦ παλαιοῦ ἀνθρώπου νέκρωσις;

Τὸ ἀληθῶς καὶ ἀπὸ ψυχῆς ταῖς ἁμαρτίαις Θεὸν παροργιζούσαις ἄχθεσθαι, καὶ αὐτὰς μᾶλλον ἀεὶ καὶ μᾶλλον μισεῖν τε καὶ ἐκτρέπεσθαι.

90 Τί δὲ ἡ τοῦ καινοῦ ἀνθρώπου ζωοποίησις;

Ἐγκάρδιος χαρὰ ἐν Θεῷ διὰ τοῦ Χριστοῦ, ἐπιμελής τε σπουδὴ καὶ πρόθυμος, τοῦ πρὸς τὸ τοῦ Θεοῦ θέλημα ζῆν ἐν πᾶσι τοῖς ἔργοις ἀγαθοῖς.

nec impudici, nec idololatræ, nec adulteri, nec fures, nec avari, nec ebrioſi, nec convitiatores, nec raptores, hæreditatem regni Dei conſequentur.

DOM. XXXIII.

88. *Quibus partibus conſtat converſio hominis ad Deum?*

Mortificatione veteris, & vivificatione novi hominis.

89. *Quid eſt mortificatio veteris hominis?*

Vere & ex animo dolere, quod peccatis tuis Deum offenderis, eaque magis ac magis odiſſe & fugere.

90. *Quid eſt vivificatio novi hominis?*

Vera lætitia in Deo per Chriſtum, & ferium ac promptum ſtudium inſtituendi vitam ex voluntate Dei, omniaque bona opera exercendi.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

91. *Quæ ſunt bona opera?*

Ea tantum, quæ ex verâ fide, ſecundum legem Dei fiunt, & ad ejus ſolius gloriam referuntur: non ea, quæ aut à nobis opinione recti conficta, aut ab aliis hominibus tradita ſunt.

92. *Quæ ſunt Legis divinæ præcepta?*

Loquutus eſt Deus omnia verba hæc.

Ego ſum Dominus Deus tuus, qui eduxi te ex Ægypto, domo ſervitutis.

Primum.

Non habebis Deos alienos in conſpectu meo.

Secundum.

Ne ſculpas tibi ſimulacrum, nec ullam imaginem effingas eorum, quæ aut ſupra ſunt in cœlo, aut infra in terrâ, aut in aquis ſub terrâ: ne incurves te illis, neque colas

91. Τίνα οὖν ἐστιν ἀγαθὰ ἔργα;

Τὰ ἐξ ἀληθινῆς πίστεως, κατὰ τὸν Θεοῦ νόμον, πρὸς τὴν αὐτοῦ δόξαν γινόμενα, οὐ τὰ κατὰ τὴν ἡμετέραν δόκησιν, ἢ τὰς ἑτέρων ἀνθρώπων παραδόσεις ἀποτελούμενα.

92. Τίνα οὖν τὰ τοῦ θείου νόμου παραγγέλματα;

Καὶ ἐλάλησε Κύριος πάντας τοὺς λόγους τούτους.

Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

Τὸ πρῶτον.

Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ.

Τὸ δεύτερον.

Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς·

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

τοῖς· Ἐγὼ γὰρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με· καὶ ποιῶν ἔλεος εἰς χιλιάδας, τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

Τὸ τρίτον.

Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσει Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Τὸ τέταρτον.

Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων, ἁγιάζειν αὐτήν· ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ Σάββατα Κυρίῳ τῷ Θεῷ σου. Οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου, καὶ τὸ ὑπο-

ea: Ego enim ſum Dominus Deus tuus, fortis, zelotes, vindicans peccata patrum in filiis, idque in tertiâ & quartâ progenie eorum, qui oderunt me: & miſericordiâ utens in milleſimam eorum, qui diligunt me, & obſervant præcepta mea.

Tertium.

Ne uſurpes nomen Domini Dei tui temere: Neque enim Dominus impunitum dimittet eum, qui nomen ejus vane uſurpaverit.

Quartum.

Memento ut diem Sabbathi ſanctifices. Sex diebus operaberis, & omne opus tuum facies: At ſeptimo die Sabbatum erit Domino Deo tuo: Non facies ullum opus, nec tu, nec filius tuus, nec filia tua, nec ſervus tuus, nec ancilla tua, nec jumen-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

tum tuum, nec advena, qui eſt intra portas tuas: Nam ſex diebus fecit Deus cœlum, terram, mare, & quæcunque in iis ſunt, & requievit die ſeptimo, ideoque benedixit Deus diei Sabbati, & ſanctificavit eum.

Quintum.

Honora patrem tuum & matrem tuam, ut diu vivas in terrâ, quam Dominus Deus tuus dat tibi.

Sextum.

Non occides.

Septimum.

Non committes adulterium.

Octavum.

Non furaberis.

Nonum.

Non dices contra proximum tuum falſum teſtimonium.

ζύγιόν σου, καὶ πᾶν κτῆνός σου, καὶ ὁ προσήλυτος, ὁ παροικῶν ἐν σοί· ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλατταν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο ηὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

Τὸ πέμπτον.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

Τὸ ἕκτον.

Οὐ φονεύσεις.

Τὸ ἕβδομον.

Οὐ μοιχεύσεις.

Τὸ ὄγδοον.

Οὐ κλέψεις.

Τὸ ἔννατον.

Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Τὸ δέκατον.

Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σου ἐστί

93. Πῶς δὲ μερίζεται τάδε τὰ προστάγματα;

Εἰς δύο πλάκας· ὧν ἡ προτέρα μὲν ἐν τέτταρσιν ἐντολαῖς παραγγέλλει τὰ πρὸς τὸν Θεὸν ὅσια· ἡ δ' ἑτέρα ἐν ἓξ ἐπιταγαῖς ὑφηγεῖται τὰ τῷ πλησίον ὀφειλόμενα.

94 Τί ἀπαιτεῖ ὁ Κύριος ἐν τῷ πρώτῳ παραγγέλματι;

Κελεύει, ὅσον μοι τῆς σωτηρίας μέλει, τοσαύτῃ σπουδῇ πᾶσαν παντάπασιν εἰδωλολατρείαν, μα-

Decimum.

Non concupiſces uxorem proximi tui, nec concupiſces domum proximi tui, nec ſervum ejus, nec ancillam, nec bovem, nec aſinum, nec quicquam eorum quæ ſunt proximi tui.

DOM. XXXIV.

93. *Quomodo dividuntur hæc præcepta?*

In duas tabulas, quarum prior quatuor præceptis tradit, quo pacto nos erga Deum geramus: Poſterior ſex præceptis, quæ officia proximo debeamus.

94. *Quid poſtulat Deus in primo præcepto?*

Ut, quam mihi chara eſt ſalus animæ meæ, tam ſtudioſe vitem & fugiam omnem idololatriam, magiam, incan-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

incantationem, ſuperſtitionem, invocationem Sanctorum, cæterarumve creaturarum: unicum autem & verum Deum recte agnoſcam, ipſi ſoli fidam, ſummâ humilitate ac patientiâ me illi ſubjiciam, ab eo ſolo omnia bona expectem, denique intimo cordis affectu ipſum amem, reverear, venerer, adeo ut omnibus potius creaturis renuntiem, quam vel minimum contra ejus voluntatem committam.

γείαν τε καὶ ἐπῳδὰς καὶ τὴν τῶν ἁγίων ἢ ἄλλων τινῶν κτίσεων προσκύνησιν ἀποστρέφεσθαι καὶ φεύγειν· αὐτὸν δὲ τὸν μόνον καὶ ἀληθινὸν Θεὸν ὀρθῶς γνωρίζειν, αὐτῷ μόνῳ ἐν πάσῃ ταπεινοφροσύνῃ καὶ ὑπομονῇ πεποιθέναι, παρ' αὐτοῦ μόνου πάντα τὰ ἀγαθὰ προσδέχεσθαι, καὶ αὐτὸν ἀφ' ὅλης τῆς ψυχῆς μου ἀγαπᾷν, τιμᾷν τε καὶ φοβεῖσθαι· ὥστε πρότερον πάσαις ταῖς κτίσεσιν ἀποτάττεσθαι, ἢ τοὐλάχιστον παρὰ τὴν αὐτοῦ βούλησιν πλημμελεῖν.

95. *Quid eſt idololatria?*

95. Τί ἐστιν εἰδωλολατρεία;

Eſt loco unius Dei, aut præter unum illum & verum Deum, qui ſe in verbo ſuo patefecit, aliud quippiam fingere aut habere, in quo ſpem reponas.

Τὸ ἀντὶ τοῦ ἑνὸς καὶ ἀληθινοῦ Θεοῦ, τοῦ ἐν τῷ ῥήματι ἑαυτὸν πεφανερωκότος, ἢ παρὰ τόνδε τὸν Θεὸν ἄλλο τι πλάσσοντα ἢ ἐπινοοῦντα, τούτῳ πεποιθέναι.

DOM. XXXV.

96. *Quid poſtulat ecundum præceptum?*

66. Τί κελεύει τὸ δεύτερον πρόσταγμα;

Οὐ-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Οὐδὲν τοῦ Θεοῦ μόρφωμα ἐξεικονίζειν, οὐδ' αὖ τὸν ἄλλαις τισὶ, παρὰ τὰς ὑπ' αὐτοῦ ἐν τῷ ῥήματι ἐπιτεταλμένας, θρησκείαις θεραπεύειν.

97. Ἀλλ' ἆρ' οὐδὲν ὅλως τοῦ Θεοῦ εἰκόνισμα ποιεῖν ἔξεστι;

Τὸν Θεὸν οὔτε δυνατόν ἐστιν, οὔτε ὅσιον ἀπεικονίσαι. τὰς δὲ κτίσεις ἔξεστι μὲν ἀπομάξασθαι, εἰκόνας δὲ αὐτῶν σεβασμοῦ χάριν ποιεῖν ἢ ἔχειν, ἢ τὸν Θεὸν διὰ τούτων θρησκεύειν, τῷ θείῳ νόμῳ κωλυόμεθα.

98. Οὔκουν τὰ εἴδωλα ἐν τοῖς ναοῖς ἔχειν ἔξεστι, ὡς τοῦ ἀπείρου ὄχλου βιβλία;

Οὐ· οὐ γὰρ ἡμᾶς τοῦ Θεοῦ φρονιμωτέρους εἶναι προσήκει, ὃς τὸν λαὸν αὐτοῦ οὐ δι' ἀφώνων εἰκόνων, ἀλλὰ διὰ τῆς ζώσης τοῦ θείου λόγου κηρύξεως διδάσκεσθαι ἐθέλει.

Ne Deum ullâ imagine aut figurâ exprimamus, neve ullâ aliâ ratione eum colamus, quam quâ ſe in verbo ſuo coli præcepit.

97. *An nullæ ergo prorſus fingendæ ſunt imagines aut ſimulacra?*

Deus nec effingi ullâ ratione debet nec poteſt; creaturas autem, etſi exprimere quidem licet, vetat tamen Deus earum imagines fingi aut haberi, quo vel ipſas, vel Deum per ipſas colamus aut honoremus.

98. *An non autem in templis imagines tolerari poſſunt, quæ pro libris ſint imperitæ multitudini?*

Minime: Neque enim decet nos ſapientiores eſſe Deo, qui Eccleſiam ſuam non mutis ſimulacris, ſed vivâ prædicatione verbi ſui vult erudiri,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

DOM. XXXVI.

99. *Quid ſancit Deus in tertio præcepto?*

Ut non ſolum exſecrando, aut pejerando, verum etiam temere jurando, nomen Dei contumelioſe aut irreverenter ne uſurpemus: neve tacendo aut connivendo horrendis iſtis ſceleribus communicemus, ſed ſacroſancto Dei nomine non niſi ſummâ cum religione & veneratione utamur, ut verâ & conſtanti confeſſione, invocatione, omnibus denique verbis & actionibus noſtris ipſe celebretur.

100. *Eſt ne igitur adeo grave peccatum jurando, aut dira imprecando, nomen Dei temerare, ut Deus etiam iis ſuccenſeat, qui, quantum in ſe eſt, illud non prohibent aut impediunt?*

99. Τί προστάττει ἡ τρίτη ἐντολή;

Οὐ μόνον τὸ τοῦ Θεοῦ ὄνομα μὴ βλασφημεῖν, ἢ πρὸς κατάρας ἢ ἐπιορκίας αὐτῷ καταχρῆσθαι, ἀλλ᾽ οὐδὲ πρὸς ματαίας διωμοσίας ἢ μαγείας αὐτῷ παραχρῆσθαι, οὔτ᾽ αὐτοῖς τοιούτων ῥᾳδιουργημάτων ἢ ἐφιέντας ἢ σιωπῶντας κοινωνεῖν· συνελόντι δ᾽ εἰπεῖν, τῷ τοῦ Θεοῦ ὀνόματι οὐκ ἄλλως χρῆσθαι, εἰ μὴ μετ᾽ εὐλαβείας τε καὶ σεβασμοῦ, ἵνα ὀρθῶς ὁμολογηθῇ τε καὶ ἐπικληθῇ, καὶ ἐν πᾶσι τοῖς τε λόγοις ἡμῶν καὶ ἔργοις δοξασθῇ.

100. Ἆρ᾽ οὖν οἱ πρὸς κατάρας ἢ διωμοσίας τῷ θείῳ ὀνόματι παραχρώμενοι, τοσοῦτον ἁμαρτάνουσιν, ὥστε Θεὸν ὀργίζεσθαι καὶ τοῖς τὰ τοιαῦτα (καθ᾽ ὅσον γ᾽ αὐτοῖς δυνατὸν) μὴ ἀπαγορεύουσιν, ἢ κωλύεσθαι ζητοῦσι;

Ναί:

Ναί· οὐδεμία γὰρ ἁμαρτία μείζων ἐστὶν, οὐδὲ τὸν Θεὸν μᾶλλον παροργίζει, ἢ ἡ τοῦ Θεοῦ ὀνόματος βλασφημία· διὸ καὶ θανάτῳ αὐτὴν ζημιῶσαι ὁ Θεὸς προσέταξε.

101. Οὐχὶ δὲ καὶ ὁρκωμοσίας ἐν τῷ τοῦ Θεοῦ ὀνόματι γενέσθαι θεμιτόν;

Ναὶ, ἐὰν οἱ ἄρχοντες τοῖς ὑπηκόοις ταύτας ἐπιθῶσιν, ἢ ἡ ἀνάγκη ἀπαιτήσῃ ἵνα τούτῳ τῷ τρόπῳ τὸ πιστὸν καὶ τὸ ἀληθὲς, πρὸς τὴν τοῦ Θεοῦ δόξαν, καὶ τὴν τοῦ πλησίον σωτηρίαν διαφυλαχθῇ· τοιαῦται γὰρ ὁρκωμοσίαι τῷ θείῳ ῥήματι ὁμολόγως γίγνονται· διόπερ καὶ οἱ ἅγιοι, ἔν τε τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ διαθήκῃ, ὀρθῶς αὐταῖς κέχρηνται.

102. Ἀλλ' ἆρα καὶ διὰ τῶν Ἁγίων ἢ ἄλλων τινῶν κτίσεων ὁρκωμοτεῖν θέμις;

Certe graviſſimum: Neque enim ullum eſt peccatum majus, aut quod Deum gravius offendat, quam ſacri ipſius nominis contumelia. Quocirca etiam id ſcelus morte multari voluit.

DOM. XXXVII.

101. *Poteſt-ne quis etiam pie per nomen Dei jurare?*

Poteſt, cum vel magiſtratus id exigit, vel alioqui neceſſitas hoc pacto fidem firmari, & veritatem ſtabiliri poſtulat; quo & gloria Dei illuſtretur, & aliorum ſaluti conſulatur: Nam ejus generis jusjurandum verbo Dei ſancitur, ideoque etjam à ſanctis in veteri & novo fœdere recte eſt uſurpatum.

102. *Eſt ne licitum jurare per Sanctos, aut alias creaturas?*

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Non: Nam legitimum juramentum eſt invocatio Dei, quâ petitur, ut is ipſe, tanquam unicus cordium inſpector, teſtimonium det veritati, & jurantem puniat, ſi ſciens fallat: Porro hic honos nulli creaturæ convenit.

DOM. XXXVIII.

103. *Quid præcipit Deus in quarto præcepto?*

Primum, ut miniſterium Euangelii & ſcholæ conſervẽtur: utque ego cum aliis, tum præcipue feſtis diebus, ſtudioſe cœtus divinos frequentem, verbum Dei diligenter audiam, utar Sacramentis, precibus publicis meas quoque preces adjungam, pro facultatibus aliquid conferam in pauperes. Deinde, ut in omni vitâ à pravis actionibus vacem, Domino concedens, ut per

Οὔ· ἡ γὰρ νόμιμος ὁρκωμοσία, Θεοῦ ἐστιν ἐπίκλησις, ἵνα αὐτὸς, ἅτε μόνος ὢν καρδιογνώστης, τῇ ἀληθείᾳ μάρτυς γένηται, καὶ τὸν ὀμνύοντα, ἐὰν εἰδὼς καὶ ἑκὼν ψεύδηται, κολάσῃ· ταύτης δὲ τῆς τιμῆς οὐδεμία κτίσις τυχεῖν ἀξία.

103. Τί ἐπιτάττει ὁ Θεὸς ἐν τῇ τετάρτῃ ἐντολῇ;

Πρῶτον μὲν, τὰς Ἐκκλησίας τε καὶ σχολὰς διασώζεσθαι, καὶ ἐμὲ ταῖς τε ἄλλαις ἡμέραις, καὶ μάλιστα ταῖς ἑορτασίμοις, εἰς τὰς ἱερὰς συναγωγὰς μετὰ σπουδῆς φοιτῶντα, τῶν θείων λογίων μετὰ προσοχῆς ἀκροᾶσθαι, τῶν ἱερῶν Μυστηρίων κοινωνεῖν, τὸ θεῖον ὄνομα ἐπικαλεῖσθαι, τήν τε Χριστιανοῖς προσήκουσαν ἐλεημοσύνην συνερανίζειν. ἔπειτα, πάσαις ταῖς τοῦ βίου ἡμέραις ἀπὸ μοχθηρῶν ἔργων ἑορτάζειν, τήν τε ψυχὴν

ψυχὴν μου τῷ θείῳ Πνεύματι γυμνασθησομένην παρέχειν. καὶ οὕτω τὴν τοῦ ἀιδίου Σαββάτου ἀρχὴν ἐν τῷδε τῷ βίῳ ποιεῖσθαι.

104. Τί δὲ τῇ πέμπτῃ ἐντολῇ κελευόμεθα?

Τῷ Πατρὶ, καὶ τῇ Μητρὶ, καὶ πᾶσι τοῖς ἡμῶν προεστῶσι, τὰς προσηκούσας τιμὰς, ἀγάπην τε καὶ πίστιν ἀπονέμειν, τοῖς ὑγιέσιν αὐτῶν νουθετήμασι καὶ σωφρονισμοῖς μετὰ πρεπούσης πειθαρχίας ὑποτάττεσθαι, τὰς τ' αὐτῶν δυσκολίας καὶ ἄλλων τοιουτοτρόπων ἐλαττωμάτων εὐγνωμόνως ἀνέχεσθαι· ἐπειδήπερ ὁ Θεὸς ἡμᾶς τῇ τούτων χειρὶ κυβερνᾷν καὶ διέπειν ἐθέλει.

105. Τί δὲ τῇ ἕκτῃ ἐντολῇ προσταττόμεθα;

Τὸν πλησίον οὔτε λογισμῷ, οὔτε λόγοις, οὔθ' ὁποιῳδή ποτε σώματος σχέσει, πολὺ δὲ ἧττον ἔρ-

Spiritum Sanctum in me ſuum opus faciat, atque ita ſempiternum illud Sabbatum in hâc vitâ exordiar.

DOM. XXXIX.

104. *Quid nobis injungit Deus in quinto præcepto?*

Ut parentibus, atque adeo omnibus qui nobis præſunt debitum honorem, amorem & fidem præſtemus, noſque ipſorum fidelibus præceptis & caſtigationibus eâ, quâ par eſt, obedientiâ ſubmittamus: Tum etiam ut eorum vitia & mores noſtrâ patientiâ toleremus, illud ſemper cogitantes, Deum nos illorum manu velle ducere ac regere.

DOM. XL.

105. *Quid flagitat Deus in ſexto præcepto?*

Ut proximum neque cogitatione, neque verbis, neque geſtibus, nedum factis, vel per

me, vel per alium contumeliâ afficiam, aut oderim, aut lædam, aut occidam; ſed omnem vindictæ cupiditatem abjiciam; Adhæc ne meipſum lædam, aut ſciens in aliquod periculum conjiciam; quocirca etiam, ne cædes fierent, Magiſtratum Deus gladio armavit.

106. *Atqui hoc præceptum ſolam cædem prohibere videtur?*

At cædem prohibendo docet Deus, ſe radicem & originem cædis, iram ſcilicet, invidiam, odium, & vindictæ cupiditatem odiſſe, atque ea omnia pro cæde ducere.

107. *An vero id ſatis eſt, nos neminem eo, quo dictum eſt, modo, occidere?*

Non eſt ſatis: Dum enim Deus iram, invidiam, odium damnat, poſtulat ut proximum

γεις, μήτε δι' ἑαυτῶν, μήτε δι' ἑτέρων, οὐ μὴ μισεῖν, περιπηλακίζειν, βλάπτειν ἢ φονεύειν, πᾶσαν δὲ τοῦ τιμωρητικοῦ ὁρμὴν ἀποτίθεσθαι ἔτι δὲ οὐδὲ ἑαυτοὺς λυμαίνεσθαι, ἢ περιπετῶς ῥιψοκινδυνεῖν. διὸ καὶ ὁ Θεὸς, ἐπὶ φόνων κωλύσει, τοὺς ἄρχοντας ξιφήρεις εἶναι ἠθέλησε.

106. Ἀλλὰ φόνου μόνον ἀπαγόρευσιν ἔχειν δοκεῖ τὸ πρόσταγμα;

Ναί· ἀλλὰ τῇ τοῦ φόνου ἀπαγορεύσει ἀποδοκιμάζει ὁ Θεὸς καὶ τὰς τοῦ φόνου ῥίζας, οἷον, τὸν φθόνον, τὸ μῖσος, τὴν ὀργὴν, καὶ τὸ τιμωρητικόν· πάντα ταῦτ' ἐνώπιον αὐτοῦ λαθρίδιον εἶναι φόνον αἰνιττόμενος.

107. Ἆρ' οὖν ἀρκεῖ τὸ τὸν πλησίον, ὡς περιείρηται, μὴ φονεύειν;

Οὔ· καὶ γὰρ ὁ Θεὸς τῆς τοῦ φθόνου, τοῦτε μίσους καὶ τῆς ὀργῆς καταγνώσει, ἀξιοῖ

ἡμᾶς

ἡμᾶς τὸν πλησίον ἀγαπᾶν ὡς ἑαυτοὺς· εὐγνωμόνως τε καὶ εἰρηνικῶς, ἔτι δὲ πρᾴως, φιλοίκτως τε, καὶ φιλοφρόνως αὐτῷ προσφέρεσθαι· τά τ' αὐτῷ ἐπιζήμια, ὅσον ἐφ' ἡμῖν, ἀποσκευάζεσθαι· καὶ ὡς συλλήβδην εἰπεῖν, τὴν ψυχὴν οὕτω διακεῖσθαι, ὥστε καὶ τοὺς ἐχθροὺς εὐποιεῖν ὑπομεῖναι.

108. Τί δὲ τὸ ἕβδομον λέγειν βούλεται;

Τὸν Θεὸν πᾶσαν ἀκαθαρσίαν μυσάττεσθαι· καὶ διὰ τοῦτο δεῖν ἡμᾶς αὐτὴν ἀφ' ὅλης τῆς ψυχῆς μισεῖν τε καὶ ἀποτροπιάζεσθαι· τοὐναντίον δὲ ἁγνῶς καὶ κοσμίως ζῆν, ἐάν τε σύγγαμον, ἐάν τε ἄγαμον βίον διάγοντες τύχωμεν.

109. Ἆρ' οὖν ἄλλο οὐδὲν ἀπαγορεύει ἡ ἐντολὴ αὕτη, ὅτι μὴ μοιχείαν, καὶ τὰς παραπλησίους αἰσχρουργίας;

æque ac nos ipſos diligamus, & ut humanitate, lenitate, manſuetudine, patientiâ & miſericordiâ erga eum utamur, quodque ei damno eſſe poſſit, quantum in nobis eſt, avertamus: Ad ſummam, ita animo affecti ſimus, ut ne inimicis quidem benefacere dubitemus.

DOM. XLI.

108. *Quæ eſt ſententia ſeptimi præcepti?*

Deum omnem turpitudinem exſecrari, ideoque nos eam penitus odiſſe ac deteſtari debere; contraque temperanter, modeſte & caſte, ſive in ſacro conjugio, ſive in vitâ cœlibe vivere oportere.

109. *Nihil ne amplius prohibet Deus hoc præcepto, quam adulterium & id genus turpitudines?*

Cum

Cum corpus & animus noſter templa ſint Spiritus Sancti, vult Deus, ut utrumque pure ſancteque poſſideamus; ideoque facta, geſtus, ſermones, cogitationes, cupiditates fœdas, & quicquid hominem ad iſta allicit, id univerſum prohibet.

Ἐπειδὴ ἄμφω, τό τε σῶμα ἡμῶν καὶ ἡ ψυχὴ τοῦ ἁγίου Πνεύματος ναός εἰσιν, ὁ Θεὸς ἀμφότερον ὑφ' ἡμῶν καθαρὸν καὶ ἅγιον διαφυλάττεσθαι ἀξιοῖ· καὶ διὰ τοῦτο ἀπαγορεύει πάντα τὰ ἀκάθαρτα ἔργα τε καὶ ῥήματα· ἔτι δὲ αἰσχροὺς σχηματισμούς τε καὶ λογισμούς, ἐπιθυμίας τε, καὶ ὅσα τὸν ἄνθρωπον πρὸς τὰ τοιαῦτα παρορμῆσαι πέφυκε.

DOM. XLII.

110. *Quid vetat Deus in octavo præcepto?*

110. Τί δ' ἀπαγορεύει ἡ ὀγδόη ἐντολή;

Non ſolum ea furta & rapinas, quas Magiſtratus punit: ſed furti nomine comprehendit, quicquid eſt malarum artium & aucupiorum, quibus aliena captamus, & ad nos vi, aut ſpecie recti transferre ſtudemus: qualia ſunt iniquum pondus, injuſta ulna, inæqualis menſura, fucoſa merx, fallax mo-

Οὐ κλοπὰς μόνον κωλύει καὶ ἁρπαγὰς, τὰς ὑπὸ τῶν ἀρχόντων κολαζομένας· ἀλλ' ὁ Θεὸς κλοπὴν καλεῖ πάντα τὰ δόλια τεχνάσματά τε καὶ σοφίσματα, δι' ὧν τὰ τοῦ πλησίον σφετερίζεσθαι ζητοῦμεν, εἴτε βίᾳ εἴτε τοῦ δικαίου προφάσει· οἷον σταθμὰ καὶ μέτρα δόλια, πήχεις ἀνίσους, ἀγοράσματα κίβδηλα, νόμισμα παράση-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ράσημον, δανεισμόν, καὶ ἑτέρους πορισμοὺς τοὺς τῷ θείῳ ῥήματι ἐναντιουμένους. ἔτι δὲ πρὸς τούτοις τήν τε πλεονεξίαν ἅπασαν, καὶ ταῖς τῶν θείων δωρεῶν ἀχρήστους ἐκχύσεις ἢ παραχρήσεις

neta, uſura, aut alia quævis ratio vel modus rem faciendi à Deo interdictus. His adde omnem avaritiam multiplicemque divinorum donorum profuſionem & abuſum.

111. Τί δὲ κελεύει τὸ πρόσταγμα τοῦτο;

Τῷ πλησίον εἰς τὰ συμφέροντα κατὰ δύναμιν συσπουδάζειν, καὶ οὕτως αὐτῷ προσφέρεσθαι, ὡς αὖ ἑτέρους ἡμῖν χρῆσθαι ἐθέλοιμεν· ἔτι δὲ τοῖς ἰδίοις πόνοις σπουδῇ προσλιπαρεῖν, ὅπως αὐτοί τε ἀποχρώντως ἔχωμεν, καὶ τοῖς ἐνδεέσιν ἐν ταῖς ἀνάγκαις ἐπαρκεῖν οἷοί τε ὦμεν.

111. *Quæ ſunt ea, quæ Deus hic jubet?*

Ut commoda & utilitates proximi, quantum poſſim, adjuvem & augeam: cum eo ſic agam, ut mecum agi cuperem, ſedulo & fideliter opus faciam, ut aliorum quoque egeſtati ſubvenire queam.

DOM. XIIII.

112. Τί δὲ βούλεται τὸ ἔννατον πρόσταγμα;

Μηδενὸς καταψευδομαρτυρεῖν· μηδενὸς τοὺς λόγους συκοφαντεῖν· οὐ καταλαλεῖν, οὐ λοιδορεῖν· οὔτε αὖ τοῖς ἀκρίτως καὶ προπετῶς κατακρίνουσι

112. *Quid exigit nonum præceptum?*

Ne adverſus quempiam dicam falſum teſtimonium, nullius verba calumnier, nulli obtrectem, aut convitium faciam, neminem temere vel indictâ cauſâ con-

condemnem: Verum omnis generis mendacia, fraudes, ut opera Diaboli propria, niſi in me graviſſimam iram Dei concitare velim, omni curâ fugiam: In judiciis cæteriſque negotiis veritatem ſecter, & id quod res eſt libere conſtanterque profitear: Adhæc famam aliorum & exiſtimationem, quantum queam, defendam & augeam.

113. *Quid prohibet decimum præceptum?*

Ne vel minimâ cupiditate aut cogitatione adverſus ullum Dei præceptum corda noſtra unquam ſolicitentur: ſed ut perpetuo & ex animo omne peccatum deteſtemur, contraque omni juſtitiâ delectemur.

114. *Poſſunt ne autem illi, qui ad Deum converſi ſunt, hæc præcepta perfecte ſervare?*

προστίθεσθαι· πάντα δὲ τὰ ψεύδη καὶ πανουργήματα, ὡς τοῦ Διαβόλου ἴδια, τοῦ δὲ Θεοῦ ἔχθιστα ἔργα, ἐκκλίνοντα, ἔν τε δίκαις καὶ πᾶσι τοῖς ἑτέροις συμβολαίοις, τὴν ἀλήθειαν στέργειν τε καὶ ἀπροφασίστως ἐκφαίνειν· ἔτι δὲ τὴν τοῦ πλησίον φήμην καὶ δόξαν, ὡς ἔχομεν δυνάμεως, σώζειν τε καὶ σεμνύνειν.

113. Τί δὲ κελεύει ἡ δεκάτη ἐντολή;

Οὐδεμίαν οὐδὲ τὴν ἐλαχίστην ἐπιθυμίαν ἢ ἔννοιαν κατ' οὐδενὸς τῶν θείων προσταγμάτων ταῖς καρδίαις ἡμῶν προσίεσθαι· ἀλλὰ διηνεκῶς καὶ ἀφ' ὅλης τῆς ψυχῆς πᾶσαν ἁμαρτίαν ἀποτροπιαζομένους, πᾶν δικαιοσύνης εἶδος μετὰ σπουδῆς διώκειν.

114. Πότερον δ' οἱ πρὸς τὸν Θεὸν ἐπιστραφέντες ταύτας τὰς ἐντολὰς τελείως πληρῶσαι δύνανται;

Οὐκ·

Οὐκ· ἀλλὰ καὶ τῶν ἁγιωτάτων οἵτινές εἰσιν, ὅσον αὖ χρόνον ἐν τῷδε τῷ βίῳ διαμείνωσι, μόνον ὀλίγην τινὰ τῆσδε τῆς πειθαρχίας ἀρχὴν ἔχουσιν· οὕτω μέντοι, ὥστε οὐ πρὸς ἐνίας μόνον, ἀλλὰ πρὸς πάσας τὰς τοῦ Θεοῦ ἐντολὰς ζῆν πᾶσαν σπουδὴν ποιεῖσθαι.

115. Διὰ τί οὖν ὁ Θεὸς τὰς ἐντολὰς οὕτως ἀκριβῶς τε καὶ ἐπιστρεφῶς κηρύττεσθαι ἐθέλει, οὐδενὸς ὄντος τοῦ αὐτὰς ἐν τῷδε τῷ βίῳ τηρῆσαι δυναμένου;

Πρῶτον μὲν, ἵνα δι' ὅλου τοῦ βίου τὸ ἁμαρτητικὸν τῆς ἡμετέρας φύσεως μᾶλλον ἀεὶ γνωρίζοντες, τοσούτῳ προθυμότερον τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, τήν τ' ἐν τῷ Χριστῷ δικαιοσύνην ζητῶμεν. ἔπειτα, ἵνα ἐνδελεχεῖ λιπαρείᾳ παρὰ τοῦ Θεοῦ τὴν τοῦ ἁγίου Πνεύματος χάριν αἰτῶμεν, ὅπως καθ'

Minime: Verum etiam ſanctiſſimi quique, quamdiu in hâc vitâ ſunt, habent tantum exigua initia hujus obedientiæ: ſic tamen, ut ſerio ac non ſimulato ſtudio, non ſecundum aliqua tantum, ſed ſecundum omnia Dei præcepta vivere incipiant.

115. *Cur igitur vult Deus legem ſuam adeo exacte & ſevere prædicari, cum nemo ſit in hâc vitâ, qui eam ſervare poßit?*

Primum, ut in omni vitâ magis magiſque agnoſcamus, quanta ſit naturæ noſtræ ad peccandum propenſio, tantoque avidius remiſſionem peccatorum, & juſtitiam in Chriſto expetamus: Deinde, ut hoc perpetuo agamus, illud ſemper meditemur, & gratiam Spiritus Sancti à Patre imploremus, quo in dies

dies magis ac magis ad imaginem Dei renovemur, donec aliquando randem, poſtquam ex hâc vitâ diſceſſerimus, propoſitam nobis perfectionem læti aſſequamur.

DE PRECATIONE.

DOM. XLV.

116. *Quare Chriſtianis neceſſaria eſt precatio?*

Quia præcipua pars eſt ejus, quam Deus à nobis poſtulat, gratitudinis: Tum quia illis tantum ſuam gratiam & Spiritum Sanctum Deus largitur, qui veris gemitibus continenter hæc ab eo petunt, & pro iis ipſi gratias agunt.

117. *Quæ requiruntur ad eam precationem quæ Deo placeat, quæque ab ipſo exaudiatur?*

ἑκάστην μᾶλλον ἀεὶ πρὸς τὴν τοῦ Θεοῦ εἰκόνα ἀνακαινώμεθα, ἕως οὗπερ προκειμένης ἡμῖν τελειότητος μετὰ τόνδε τὸν βίον ἐπιτυχεῖς γινώμεθα.

Περὶ τῆς προσευχῆς.

116. Διὰ τί δὲ ἡ προσευχὴ τοῖς Χριστιανοῖς ἀναγκαία ἐστί;

Διότι τὸ κυριώτατόν ἐστι μέρος τῆς εὐχαριστίας, τῆς τῷ Θεῷ ὑφ' ἡμῶν ὀφειλομένης· ἔτι δέ, διότι ὁ Θεὸς τὴν αὐτοῦ χάριν καὶ τὸ ἅγιον Πνεῦμα τούτοις μόνον διδόναι ἀξιοῖ, ὅσοι ἐμπαθέσι στεναγμοῖς καὶ ἀδιαλείπτοις ἀντιβολήσεσι ταῦτα παρ' αὐτοῦ αἰτοῦσι, καὶ αὐτῷ ὑπὲρ τούτων εὐχαριστοῦσι.

117. Τίνα δὲ προσεῖναι χρὴ προσευχῇ τῇ ἀρεσούσῃ τε τῷ Θεῷ καὶ ὑπ' αὐτοῦ εἰσακουσθῆναι μελλούσῃ;

Πρῶ-

Πρῶτον μὲν, τὸ, μόνον τὸν ἀληθινὸν Θεὸν, τὸν ἐν τῷ ῥήματι ἑαυτὸν φανερώσαντα, ὑπὲρ πάντων ὅσα αἰτῆσαι ἡμᾶς προσέταξεν, ἀπὸ ψυχῆς ἐπικαλέσαι. ἔπειτα, τὸ, τὴν ἰδίαν ταλαιπωρίαν καὶ ἔνδειαν δυσωποιοῦ διανοίας αἰσθητῶς ἐπιγνόντα, ἑαυτὸν ἐνώπιον τῆς θείας μεγαλωσύνης ταπεινῶσαι. τρίτον, τὸ βεβαίως πεπεῖσθαι, ὅτι αἱ δεήσεις ἡμῶν, κἂν ἀνάξιοι ὄντες τύχωμεν, ἀλλ' οὖν διά γε τὸν Κύριον Ἰησοῦν ἀμεταπταίστως ὑπὸ τοῦ Θεοῦ εἰσακουσθήσονται, καθάπερ ἡμῖν ἐν τῷ αὐτοῦ ῥήματι ὑπέσχηται.

Ut à ſolo vero Deo, qui ſe in verbo ſuo patefecit, omnia quæ à ſe peti juſſit, vero cordis affectu petamus, ex intimo noſtræ indigentiæ ac miſeriæ ſenſu nos in conſpectu divinæ Majeſtatis ſupplices abjiciamus, huic firmo fundamento innitamur, nos à Deo, quanquam indignos, propter Chriſtum tamen certo exaudiri, quemadmodum nobis in verbo ſuo promiſit.

118. Τίνα οὖν παρ' αὐτοῦ αἰτεῖσθαι Θεὸς ἐκέλευσε;

118. *Quæ ſunt ea, quæ à ſe peti jubet?*

Πάσας τὰς πνευματικάς τε καὶ σωματικὰς ἐνδείας, ἃς ὁ Κύριος Ἰησοῦς ἐν τῇ ὑπ' αὐτοῦ ὑφηγηθείσῃ προσευχῇ περιείληφε.

Omnia tum animæ, tum corpori neceſſaria, quæ Dominus noſter Jeſus Chriſtus eâ precatione, quam nos ipſe docuit, complexus eſt.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

119. *Quæ eſt illa precatio?*

Pater noſter, qui es in cœlis. Sanctificetur nomen tuum: Veniat regnum tuum. Fiat voluntas tua, quemadmodum in cœlo, ſic etiam in terrâ: Panem noſtrum quotidianum da nobis hodie: Et remitte nobis debita noſtra, ſicut & nos remittimus debitoribus noſtris: Et ne inducas nos in tentationem, ſed libera nos à malo. Quia tuum eſt regnum, & potentia, & gloria, in ſecula. Amen.

DOM. XLVI.

120. *Cur præcipit Chriſtus, ut ita Deum compellemus: Pater noſter?*

Ut ſtatim in ipſo precationis exordio, convenientem Dei filiis reverentiam & fiduciam erga Deum in nobis excitet, quæ

119. Τίς ἐστὶ αὕτη ἡ προσευχή;

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· Ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου· Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ Πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας· Ἀμήν.

120. Διὰ τί προσέταξεν ὁ Χριστὸς τὸν Θεὸν ὧδε προσαγορεύειν· Πάτερ ἡμῶν;

Ἵνα εὐθὺς ἐν τῇ τῆς προσευχῆς ἀρχῇ, ταῖς καρδίαις ἡμῶν ἐμποιῇ τὴν προσήκουσαν τοῖς τοῦ Θεοῦ τέκνοις εὐλάβειάν τε καὶ πεποίθησιν πρὸς τὸν Θεόν, ἣν

τὴν τῆς ἡμετέρας προσευχῆς κρηπῖδα εἶναι χρή. λέγω δὲ ὅτι ὁ Θεὸς διὰ τοῦ Χριστοῦ ὁ Πατὴρ ἡμῶν γέγονε, καὶ τὰ ἐν πίστει παρ' αὐτοῦ αἰτούμενα, πολλῷ ἧττον δεομένοις ἡμῖν ἀνανεύσειν μέλλει, ἢ οἱ γονεῖς ἡμῶν γήϊνα λιπαροῦσιν ἡμῖν ἀπαναίνονται.

121. Διὰ τί δὲ προσκεῖται· Ὁ ἐν οὐρανοῖς;

Ἵνα περὶ τῆς οὐρανίου τοῦ Θεοῦ μεγαλειότητος οὐδὲν γήϊνον ἐννοώμεθα, καὶ παρὰ τῆς αὐτοῦ παντοδυναμίας πάντα τὰ τῷ τε σώματι καὶ τῇ ψυχῇ ἀναγκαῖα προσδοκῶμεν.

122. Τίς οὖν ἐστιν ἡ πρώτη δέησις;

Ἁγιασθήτω τὸ ὄνομά σου· τοῦτ' ἔστι, Δὸς ἡμᾶς, πρῶτον μὲν, ὀρθῶς σε ἐπιγνόντας, τὴν ἐν πᾶσι τοῖς ἔργοις σου ἐκλάμπουσαν παντοκρατορίαν, σοφίαν, χρηστότητα, ἐλεημοσύνην, δικαιοσύνην τε καὶ ἀλή-

noſtræ precationis fundamentum eſſe debet: nimirum Deum per Chriſtum nobis Patrem factum eſſe, & quæ verâ fide ab eo petimus, nobis multo minus negare, quam parentes noſtri nobis bona terrena denegant.

121. *Cur additur: Qui es in cœlis?*

Ne de cœleſti majeſtate Dei humile quippiam aut terrenum cogitemus: ſimul etiam, ut ab ejus omnipotentiâ, quæcunque animo & corpori ſunt neceſſaria, exſpectemus.

DOM. XLVII.

122. *Quæ eſt prima petitio?*

Sanctificetur nomen tuum: hoc eſt, Da principio, ut te recte agnoſcamus, & lucentem in omnibus operibus tuis omnipotentiam, ſapientiam, bonitatem, juſtitiam, miſericordiam & veritatem tuam veneremur,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

neremur, prædicemus & celebremus: Deinde, ut univerſam vitam noſtram, cogitationes, ſermones & actiones, eo ſemper dirigamus, ne ſanctiſſimum nomen tuum propter nos contumeliâ afficiatur, ſed honore potius & laudibus illuſtretur.

DOM. XLVIII.

123. *Quæ eſt ſecunda petitio?*

Veniat regnum tuum: hoc eſt, Regas nos ita verbo & Spiritu tuo, ut nos tibi magis magiſque ſubjiciamus: Conſerva & auge Eccleſiam tuam: Deſtrue opera diaboli omnemque potentiam ſe adverſus majeſtatē tuam efferentem: Irrita fac omnia conſilia, quæ contra verbum tuum capiuntur: Quoad plene tandem ac perfecte regnes, cum eris omnia in omnibus.

ϑειαν σεμνύνειν καὶ δοξάζειν. ἔπειτα δὲ, ἐν παντὶ τῷ βίῳ, πᾶσι τοῖς λόγοις τε καὶ ἔργοις, καὶ αὐτοῖς δὲ τοῖς λογισμοῖς τοῦτο σκοπεῖν, ὅπως τὸ ὄνομά σου δι' ἡμᾶς οὐ βλασφημηθῇ, μᾶλλον δὲ σεβασθῇ τε καὶ δοξασθῇ.

123. Τίς ἡ δευτέρα δέησις;

Ἐλθέτω ἡ βασιλεία σου· τοῦτ' ἔστιν, Οὕτως ἡμᾶς τῷ ῥήματί σου καὶ Πνεύματι κυβέρνησον, ὥστε σοι μᾶλλον ἀεὶ ὑποτάσσεσθαι· σῶσον δὲ καὶ αὔξησον τὴν Ἐκκλησίαν σου, διασκορπίζων τὰ ἔργα τοῦ διαβόλου πᾶσάν τε δύναμιν τὴν ἀντέχουσάν σοι, καὶ πάντα τὰ σκευωρήματα τὰ κατὰ τοῦ ἁγίου σου ῥήματος συγκροτούμενα· ἕως ἂν ἡ τῆς βασιλείας σου παντέλεια ἐπιγένηται, ὅτε πάντα ἔσῃ ἐν πᾶσι.

124. Τίς

125. Τίς ἡ τρίτη δέησις;

Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τουτέστι, πρᾶξον ὅπως ἡμεῖς τε καὶ πάντες οἱ ἄνθρωποι τῷ ἰδίῳ θελήματι ἀποταξάμενοι, τῷ σῷ θελήματι μόνῳ ἀπροφασίστως πειθαρχῶμεν καὶ ἕκαστος ἡμῶν τὰ αὐτῷ προσήκοντα μετὰ τοσαύτης προθυμίας τε καὶ πίστεως διαπραξώμεθα, ὡς οἱ ἄγγελοί σου ἐν τοῖς οὐρανοῖς τὰς ἐντολάς σου πληροῦσι.

125. Τίς ἡ τετάρτη δέησις;

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· τουτέστιν, ἐπιχορήγησον ἡμῖν πάντα τὰ πρὸς τόνδε τὸν βίον ἀναγκαῖα· ἵνα ἐντεῦθεν ἐπιγνῶμεν, σὲ μόνον εἶναι τοῦ παντὸς τἀγαθοῦ κρουνὸν, καὶ ἄνευ τῆς σῆς εὐλογίας, οὔτε τὴν μέριμναν ἡμῶν, καὶ φιλερ

DOM. XLIX.

124. *Quæ eſt tertia petitio?*

Fiat voluntas tua, quemadmodum in cœlo, ſic etiam in terrâ: hoc eſt, Da ut nos & omnes homines, voluntati propriæ renuntiantes, tuæ voluntati, quæ ſola eſt ſancta, prompte & ſine ullo murmure pareamus: atque ita ſinguli mandatum nobis munus fideliter & alacriter exequamur, quemadmodum faciunt Angeli in cœlo.

DOM. L.

125. *Quæ eſt quarta petitio?*

Panem noſtrum quotidianum da nobis hodie: hoc eſt, Suppedita nobis omnia quæ ad hanc vitam ſunt neceſſaria, ut per ea agnoſcamus te unicum fontem eſſe, ex quo omnia bona emanant, ac niſi tu benedicas omnem noſtram curam & indu-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ſtriam atque adeo tua ipſius dona nobis infelicia & noxia eſſe: Qua propter da, ut fiduciam noſtram, ab omnibus creaturis averſam, in te ſolo collocemus.

DOM LI.

126. *Quæ eſt quinta petitio?*

Remitte nobis debita noſtra, ſicut & nos remittimus debitoribus noſtris: hoc eſt, Nobis miſerrimis peccatoribus, omnia peccata noſtra atque eam etiam pravitatem, quæ in nobis etiamnum hæret, propter Chriſti ſanguinem ne imputes: quemadmodum nos quoque hoc tuæ gratiæ teſtimonium in cordibus noſtris ſentimus, quod firmiter nobis propoſitum habemus, omnibus, qui nos offenderunt, ex animo ignoſcere.

DOM. LII.

127. *Quæ eſt ſexta petitio?*

γίαν, οὔτ' αὐτὰ σαυτοῦ δῶρα, οὐδεμίαν ἡμῖν φέρειν ὄνησιν· καὶ διὰ τοῦτο πάσαις ταῖς κτίσεσιν ἀπεταξάμενοι ἐν σοὶ μόνῳ τὴν πεποίθησιν ἔχωμεν.

126. Τίς ἡ πέμπτη δέησις;

Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· τοῦτ' ἔστι, μὴ λόγισαι ἡμῖν τοῖς ἀθλίοις ἁμαρτωλοῖς τὰ παραπτώματα ἡμῶν, οὐδὲ τὴν τῆς φύσεως μοχθηρίαν, ἥπερ ἡμῖν εἰσαεὶ προσκολλωμένη διατελεῖ· ἀλλὰ διὰ τὸ τοῦ Χριστοῦ αἷμα συγγνώμων ἴσθι, καθάπερ καὶ ἡμεῖς ἐν ταῖς καρδίαις ἡμῶν ἀντίστροφον τῆς χάριτος σου μαρτύριον αἰσθανόμεθα, βεβαίαν δῆθεν προαίρεσιν τοῦ καὶ τῷ πλησίον τὰ αὐτοῦ προσκόμματα ἀπὸ ψυχῆς χαρίσασθαι.

127. Τίς ἡ ἕκτη δέησις;

Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· τουτέστιν, ἐπειδὴ αὐτοὶ μὲν ἀφ᾽ αὐτῶν οὕτω ἀσθενεῖς ὄντες τυγχάνομεν, ὥστε οὐδὲ ἀκαρῆ ἀντισχεῖν δύνασθαι. οἱ δὲ ἄσπονδοι ἡμῶν ἐχθροί, ὁ σατανᾶς, ὁ κόσμος, ἡ σὰρξ ἡμῶν, οὐδὲν ἀνιᾶσιν ἀπαύστως ἡμῖν διαπολεμοῦντες, σώζων ἡμᾶς διατέλει, καὶ τῇ τοῦ ἁγίου Πνεύματος δυνάμει οὕτως ἐπίρρωσον, ὥστε καρτερῶς αὐτοῖς ἀντιστῆναι, οὐδὲ ἐν τῷ πνευματικῷ ἀγῶνι τῷδε ἀποκαμεῖν, ἕως ἂν τελευτῶντες ὁλοχεροῦς νίκης ἐπετύχωμεν.

128. Πῶς δὲ τὴν προσευχὴν συμπεραίνεις;

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας· τουτέστιν, ἅπαντα ταῦτα διὰ τοῦτο παρὰ σοῦ δεόμεθα, ὅτι σὺ ὁ βασιλεὺς ἡμῶν, καὶ πάντων κύριος,

Ne nos inducas in tentationem, ſed libera nos à malo: hoc eſt. Quoniam ipſi naturâ adeo debiles & infirmi ſumus, ut ne momento quidem ſubſiſtere poſſimus; infenſiſſimi autem hoſtes noſtri, Satan, mundus, ac noſtra ipſorum caro, nos continenter oppugnant: tu nos ſuſtentes, & Spiritus tui robore firmes, ne in hoc ſpirituali certamine ſuccumbamus, ſed fortiter illis tantiſper reſiſtamus, donec integram tandem victoriam obtineamus.

128. *Quomodo concludis precationem tuam?*

Quia tuum eſt regnum, & potentia, & gloria, in ſæcula: hoc eſt, Omnia hæc à te petimus, quia cum & rex noſter. & omnipotens ſis; omnia

nobis & vis & potes largiri: Atque hæc quidem ideo petimus, ut ex iis non ad nos, ſed ad ſanctum nomen tuum omnis gloria redeat.

ἅπαντα ἡμῖν τἀγαθὰ διδόναι θέλεις τε καὶ δύνασαι. ἵνα διὰ τοῦτο οὐχ ἡμεῖς, ἀλλὰ τὸ σεβαστόν σου ὄνομα εἰς αἰῶνας δοξασθῇ.

129. *Quid ſibi vult particula Amen?*

129. Τί δὲ βούλεται τὸ Ἀμήν;

Amen ſignificat Fiat, ſeu, vere adimpleatur: Nam precatio mea multo certius à Deo eſt exaudita, quam ego in corde meo ſentio, me illud ex animo cupere.

Τὸ Ἀμὴν σημαίνει τὸ Γένοιτο, ἤγουν, κατ' ἀλήθειαν συντελεσθείη· ἡ γὰρ δέησίς μου πολλῷ σαφέστερον ὑπὸ Θεοῦ εἰσηκούσθη, ἢ ἐγὼ ἐν τῇ καρδίᾳ μου ταῦτα παρὰ τοῦ Θεοῦ δεόμενος αἰσθάνομαι.

FINIS.

ΤΈΛΟΣ,

Soli Deo laus & gloria.

Μόνῳ τῷ Θεῷ ἔπαινος καὶ δόξα.

ΠΡΟΣΕΥΧΑΙ᾽ ΑΙ᾽ κατ᾽ ἰδίαν γινόμεναι.

Ἡ ὄρθριος προσευχή.

ἈΓαπητοὶ ἐν τῷ κυρίῳ Ἰησοῦ, γονυκλινοῦντες ἐνώπιον τοῦ Θεοῦ, ἐκ βαθέων τῆς καρδίας οὕτως αὐτὸν ἐπικαλεσώμεθα.

Πανοικτίρμων ἀΐδιε πάτερ, εὐχαριστοῦμέν σοι, ὅτι τήν δε τὴν νύκτα οὕτως εὐμενῶς ἡμᾶς διέσωσας. Ἐπεὶ δὲ καὶ τὴν σήμερον ἡμᾶς ἰδεῖν ἠξίωσας, δεόμεθά σου, ὦ πάτερ, καὶ ἐν ταύτῃ φυλάττων ἡμᾶς διατέλει, καὶ τῇ χάριτι σου οὕτω ποδηγῆσαι, ἵνα ὅλην τὴν ἡμέραν ἐν τῇ σῇ θεραπείᾳ διάγωμεν, οὐδὲν οὔτε διανοούμενοι οὔτε λαλοῦντες, οὔτε δρῶντες, πλὴν καθ᾽ ὃ αὖ τῷ πατρικῷ σου βουλήματι πειθαρχῆσαι, σοί τε εὐαρεστῆσαι δυνάμεθα, ἵνα πάντα τὰ ἔργα

PRECES PRIVATÆ.

Matutina precatio.

DIlecti in Domino Jeſu, flexis coram Deo genibus, ex imo Corde ita eum invocemus.

Miſericors, æterne Pater, agimus tibi gratias, quod hâc nocte tam benigne nos conſervaſti. Quia vero nos etiam hodiernum diem videre voluiſti, rogamus Pater, ut eo quoque tueri nos digneris, ſicque nos gratiæ tuæ ductu regas, ut totum diem in tuo cultu traducamus, nihilque aut cogitemus, aut loquamur, aut agamus niſi quo paternæ voluntati tuæ obſequi, ac tibi placere poſſimus: ut omnia opera no-

ſtra

ſtra ad ſancti nominis tui gloriam, & proximi ædificationem pertingant. Atque ut nunc Solis tui jubare per terram diffuſo mirandam corporibus noſtris lucem præbes: ſic etiam Spiritus tui fulgore corda & animos noſtros illumina, teque nobis ad rectam juſtitiæ ſemitam ductorem præſta: ut quidquid aggreſſi fuerimus, id nobis in omnibus & ante omnia proponamus, in timore tuo ambulare, te colere, te honorare, omniaque bona & ſalutem omnem à tuâ benedictione ſolâ expectare, neque quidquam inceptare quod tibi diſpliceat. Da inſuper benigniſſime pater, ut dum pro caducâ & fluxâ corporis hujus vitâ laboramus, perpetuo regnum tuum & juſtitiam tuam præ cæteris.

ἡμῶν πρὸς τὴν τοῦ ἁγίου ὀνόματός σου δόξαν, καὶ τὴν τοῦ πλησίου οἰκοδομὴν, ἀνήκῃ· καὶ ὥσπερ τὸ νῦν τοῦ ἡλίου σου ἐπὶ τὴν γῆν ἀνατείλας, θαυμαστὸν τοῖς ἡμετέροις σώμασι φῶς παρέχεις· οὕτω καὶ τῇ τοῦ πνεύματός σου λαμπηδόνι τὰς καρδίας ἡμῶν καὶ τὰς ψυχὰς διαυγάζων, ὁδηγὸς ἡμῖν γίνου τῆς εὐθείας εἰς τὴν δικαιοσύνην σου ἀτραποῦ ἵνα ἐν πᾶσιν, οἷς ἂν προσβάλομεν, τοῦτον ἐξαιρέτως σκοπὸν ἔχωμεν, τὸ ἐν τῷ φόβῳ σου περιπατεῖν, σοὶ λατρεύειν, σὲ διὰ τιμῆς ἄγειν, πάντα τε τὰ ἀγαθὰ καὶ τὴν σωτηρίαν πᾶσαν, παρὰ τῆς σῆς εὐλογίας προσδοκῆσαι μόνης, οὐδ᾽ ἐγχειρῆσαι οὐδενὶ τῷ μή σοι ἀρέσκοντι. Πρὸς τούτοις, χάρισαι ἡμῖν ὦ πάτερ, ὅπως ἐν τοῖς πόνοις τοῖς ὑπὲρ τοῦ σωματικοῦ τοῦδε καὶ προσκαίρου βίου, διαπαντὸς τὴν βασιλείαν σου καὶ τὴν δικαιοσύνην σου τὸ πρῶτον ζητῶμεν,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

μεν, οὐδὲν ἀμφιγνοοῦντες καὶ
τἄλλα ἡμῖν πάντα προσ-
τεθήσεσθαι. Τά τε σώματα
ἡμῶν καὶ τὰς ψυχὰς δια-
σώζων, καὶ πρὸς πάντας
τοὺς τοῦ σατανᾶ πειρασμοὺς
ἡμᾶς κρατυνῶν, ἐκ
πάντων ἡμᾶς ῥῦσαι κιν-
δύνων τῶν καὶ πᾶσαν σχε-
δὸν ῥοπὴν ἐν τῷδε τῷ βίῳ
ἡμῖν προσπιπτόντων. Ἐ-
πεὶ δὲ οὐδὲν ὀνίνησι τὸ ἄρ-
ξασθαι καλῶς, ἐὰν μὴ δι-
ανύσωμεν εἰς τέλος, δε-
όμεθα, οὐ μόνον τῇδε τῇ
ἡμέρᾳ τῆς παραπομπῆς
σου καὶ φυλακῆς τυγχά-
νειν, ἀλλὰ καὶ δι' ὅλου τοῦ βίου
τὴν χάριν σου ἐπὶ μᾶλ-
λον ἡμῖν καθ' ἡμέραν
αὐξηθῆναι ἕως τελέως ἑ-
νωθῶμεν τῷ ἀγαπητῷ σου
υἱῷ τῷ κυρίῳ ἡμῶν, ὅς ὁ
ἀληθινός ἐστιν ἥλιος τῶν
ἡμετέρων ψυχῶν, νύκτωρ
τε καὶ μεθ' ἡμέραν φαίνων
ἀδιαλείπτως μέχρι εἰς τὸν
αἰῶνα. Ἔτι δ' ὦ κύριε εὐόδωσον τὴν τοῦ ἁγίου εὐαγ-
γελίου κήρυξιν· καὶ πάντα τὰ τοῦ διαβόλου ἔργα

quæramus, nihil dubi-
tantes, cætera quoque
omnia nobis additum
iri: corpora noſtra &
animas tutare: adverſus
omnes Satanæ tenta-
tiones nos robora, &
ex omnibus nos peri-
culis eripe, quæ ſingu-
lis pene momentis in
hâc vitâ nobis immi-
nent. Quia vero nihil
prodeſt recte incepiſſe,
niſi ad finem uſque
perſeveremus; roga-
mus, non hodie tan-
tum nos comitatu &
tutela tua digneris,
ſed etiam per totam
vitam nobis gratiam
tuam magis ac magis
in dies adaugeas, do-
nec tandem perfectè
uniamur dilecto filio
tuo, Domino noſtro;
qui verus eſt anima-
rum noſtrarum ſol, in-
terdiu pariter & no-
ctu lucens abſque in-
termiſſione in omnia
ſecula. Ad hæc proſpe-
ra Domine curſum ſan-
cti Euangelii; deſtru-
ctiſque omnibus dia-

boli operibus, corrobora quotquot Eccleſiæ ac populi tui ſunt antiſtites eos vero, qui perſecutionibus & turbis exagitantur, jugi conſolatione ſtabili. Ut porro hæc & alia neceſſaria abs te impetremus, omnia nobis peccata, benigniſſime pater, condona propter dilectum filium tuum Jeſum Chriſtum, qui nobis promiſit, quidquid in ſuo nomine petituri abs te ſimus, certo nobis datum iri, eaque fiducia ſic te precari docuit: *Pater noſter qui es in cælis.* Denique hoc nobis largire pater, ut vitam noſtram perpetuo conformemus ad voluntatem. quam in lege tuâ nobis pateſeciſti, hiſce decem præceptis comprehenſam; *Ego ſum Dominus Deus tuus.*

διαλύσας, ἐπίῤῥωσιν ὅσοι τῆς τε ἐκκλησίας καὶ τοῦ λαοῦ σου προεστῶσι· τοὺς δὲ διωγμοῖς ἢ ταραχαῖς θλιβομένους διαρκέσι παρηγορίαις στήριξον. ἵνα δὲ τούτων τε καὶ ἄλλων τῶν χρειωδῶν παρὰ σοῦ τύχωμεν, πάσας ἡμῖν, ὦ πάτερ, τὰς ἁμαρτίας συγγνῶθι, ἕνεκεν τοῦ ἀγαπητοῦ σου υἱοῦ Ἰησοῦ Χριστοῦ, ὃς ἐπαγγειλάμενος ἡμῖν, ὅτι, ὅσα ἂν σε ἐν τῷ ὀνόματι αὐτοῦ αἰτήσωμεν, ἀμεταπτώτως κομιούμεθα· ἐπὶ τούτῳ ὧδέ σε προσεύχεσθαι ἐδίδαξε· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρ. Τελευτῶν χάρισαι ἡμῖν, ὦ Πάτερ, ὅπως τὸν βίον πρὸς τὸ θέλημά σου συσχηματίσωμεν, ὅπερ διὰ τοῦ νόμου ἡμῖν ἐφανέρωσας, ταῖς δέκα ταύταις ἐντολαῖς περιλαβών. Ἐγώ εἰμι Κύριος ὁ θεός σου.

ΕΥ'ΧΗ' ΠΡΟ' ΤΟΥ͂ εἰς τὴν Σχολὴν φοιτῆσαι.

Ψαλμῷ ριθ'. Ἐν τίνι κατορθώσει νεότερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Ἐν ὅλῃ τῇ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου.

Χάριν σοι ἔχω, ἐπιεικέστατε πάτερ, ἀντί τε τῶν ἄλλων τῶν παμμεγέθων καὶ ἀναριθμήτων σου εὐεργετημάτων, ἐξαιρέτως ὅτι φιλοστόργῳ ἐλέῳ κἀμὲ πρὸς τὴν τοῦ εὐαγγελίου σου γνῶσιν ἐκάλεσας, διδασκάλοις τε παρέδωκας τοῖς καλά με καὶ ὠφέλιμα ἐκπαιδεύουσι μαθήματα, τήν τε ψυχήν μου ἁγίαις καὶ σωτηρίοις ὑποθήκαις ἐξασκοῦσι· Δὸς ἵνα σαφῶς ἐπιγνοὺς τοιούτων δωρεῶν τὸ μέγεθος,

PRECATIO ANtequam in ſcholam eat puer.

Pſalm. 119. *In quo inſtituet adoleſcens vitam ſuam? Si prudenter ſe gerat ſecundum ſermones tuos. Ex animo te exquiſivi, ne ſinas me aberrare à præceptis tuis.*

AGo tibi gratias, clementiſſime Deus, cum pro aliis tuis ſummis & infinitis beneficiis, tum vel maximè, quod pro ſingulari miſericordiâ tua me quoq; ad Euangelii tui cognitionem vocaſti, præceptoribuſque me tradidiſti, qui bonis literis & artibus me inſtituerent, & animum meum ſanctis honeſtiſque præceptis imbuerent. Da ut rectè agnoſcam, qualia & quanta ſint hæc dona tua, & pro

his tibi ſemper agam gratias. Præterea, diſcuſſis mentis meæ nebulis, Spiritus tui radiis me illuſtra, ut ea quæ mihi à præceptoribus proponuntur, cupide feliciterque diſcam, fideliter retineam, prompte & cum judicio reddam, ne & præceptorum & meus labor, pretioſum tempus atque hæc tam commoda mihi abs te data occaſio, & qui ex me fructus exſpectantur, turpiter mea ignavia & ingratitudine pereant. Ut id fiat, largire mihi Spiritum tuum ſanctum, auctorem omnis intelligentiæ ac veritatis, qui me veracem, hiſque percipiendis aptum & idoneum reddat. Da etiam, ut cuicunque ſtudio animum meum applicem, hoc mihi ſemper propoſitum ſit, ut te ſolum

εἰσαεί σοι ἀντ' αὐτῶν χάριτας ὁμολογῶ. Πρὸς τούτοις, τὰ τῆς ψυχῆς μου νέφη διασκεδάσας, ταῖς τοῦ πνεύματός σου ἀκτῖσί με καταύγασον, ὅπως τὰ ὑπὸ τῶν διδασκάλων παραδιδόμενα, μετὰ σπουδῆς τε καὶ προθυμίας μαθών, στερρῶς τε τηρῶν, μετὰ προχείρου κρίσεως ἀποδοῦναι δύναμαι· μή πού, ὅ τε τῶν καθηγητῶν, καὶ ὁ ἐμαυτοῦ πόνος, χρόνος τε χρῆμα ζημιώζετον, ἥ τε παρά σου χορηγουμένη εὐκαιρία, καὶ ἐξ ἐμοῦ προσδοκώμενος καρπός, αἰσχρῶς τῇ ἐμῇ ῥαθυμίᾳ καὶ ἀγνωμοσύνῃ διόλωνται. ὅπερ ἵνα μὴ γένηται, χάρισαί μοι τὸ ἅγιόν σου πνεῦμα, κρουνὸν πάσης συνέσεώς τε καὶ ἀληθείας· ἵνα τῇ τούτου ἐνεργείᾳ, ἀληθεύειν τε μάθω, καὶ πρὸς τὴν τῆς παιδείας κατάληψιν ἐπιτήδειος γένωμαι· Ὁποίῳ δ' ἂν με ἐπιτηδεύματι ἐπιδῶ, οὗτός μοι εἰσαεὶ σκοπὸς γένηται, τὸ μόνον σε γνῶ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

γνῶναι τὸν ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν σέ τε καθαρᾷ τῇ συνειδήσει θεραπεῦσαι.

Ἐπεὶ δὲ τοὺς μὲν νηπίων, δίκην ἁπλοϊκοὺς καὶ ταπεινόφρονας σοφίζεις, τοὺς δ' ἐπηρμένους καὶ ἀλαζόνας τῶν σῶν χαρισμάτων στερηθέντας ματαιότητι παραδίδως· ἐκρίζωσον ἐκ τῆς καρδίας μου πᾶσαν ὑπερηφανίαν· ἵνα ταπεινωθεὶς σοὶ μὲν πρῶτον, ἔπειτα καὶ τοῖς ἐμοὶ παρά σου δοθεῖσιν ἐπιστάταις φιλομαθῆ τε καὶ πειθήνιόν με παράσχω, καὶ οὕτω κατ' ὀλίγον προπαρασκευασθεὶς, ἐν τῇ ἐπιταχθησομένῃ περὶ ἐμοὶ λειτουργίᾳ, τῇ τε δόξῃ σου, καὶ ταῖς τοῦ πλησίον ὠφελείαις μετὰ πολλῆς ὀνήσεως ὑπουργῆσαι οἷός τε γένωμαι.

Ψαλμ. κέ. Τὰ ἀπόρρητα τοῦ κυρίου τοῖς φοβουμένοις αὐτὸν, καὶ τὴν αὐτοῦ διαθήκην φανερώσει αὐτοῖς.

agnoſcam verum Deum & quem miſiſti Jeſum Chriſtum, atque ita te purâ conſcientiâ colam.

Cæterum quia ſapientiam iis promittis, qui animo ſunt ſummiſſo & humili, velut pueri: eos autem qui arrogantes ſunt & elati, tuis donis orbatos, tradis vanitati: eradica ex corde meo omnem ſuperbiam; ut humilis effectus, me tibi primum, deinde iis etiam quorum me diſciplinæ tradidiſti, docilem & obedientiam præbeam, atque ita me paulatim præparem, ut in obeundo munere, quod mihi olim aſſignaturus es, tuæ ſolius gloriæ, atque aliorum utilitati ſervire poſſim.

Pſal. 25. Secretum Domini timentibus eum, & fædus ſuum notum illis faciet.

ALIA

ALIA PRECAtio Scholaſtica.

Omnipotens, æterne, miſericors Deus, una cum Filio tuo coæterno, Domino noſtro Jeſu Chriſto, & Spiritu ſancto; qui prope es invocantibus te, omnibus invocantibus te in veritate: ago tibi gratias pro omnibus, æternis pariter & hujus fluxæ vitæ beneficiis; quod condiſti, elegiſti, & ſervas tibi æternam Eccleſiam; & in eâ te pateſeciſti verbo tuo per Prophetas & Apoſtolos tradito: ſicque nos diligis, ut volueris filium tuum unigenitum propter noſtram ſalutem deſcendere de cœlo, aſſumere humanam naturam, pro nobis fieri victimam, crucifigi, mori, ac reſurgere, aſcendere

ἌΛΛΗ ΕΥ̓ΧῊ Σχολαστική.

Παντοκράτορ, ἀΐδιε, εὔοικτε πάτερ θεὸς, μετὰ τοῦ συναϊδίου σοι υἱοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ὁ ἐγγὺς ὢν πᾶσι τοῖς ἐπικαλουμένοις σε, πᾶσι τοῖς ἐπικαλουμένοις σε ἐν ἀληθείᾳ. ὁμολογῶ σοι χάριτας ἀντὶ πάντων τῶν τε αἰωνίων καὶ τῶν τοῦ δὲ τοῦ προσκαίρου βίου εὐεργετημάτων· Ὅτι ἐδημιούργησάς τε καὶ ἐξελέξω καὶ διασώζεις σοι ἐκκλησίαν αἰώνιον, καὶ ἐν αὐτῇ σε τῷ ῥήματί σου, τῷ διὰ τῶν προφητῶν τε καὶ ἀποστόλων κηρυχθέντι, ἐφανέρωσας· καὶ οὕτως ἡμᾶς ἠγάπησας, ὥστε τὸν υἱόν σου τὸν μονογενῆ ἐπὶ τῇ ἡμῶν σωτηρίᾳ, ἐκ τοῦ οὐρανοῦ καταβάντα, ἀνθρώπειόν τε φύσιν λαβόντα, ὑπὲρ ἡμῶν ἐν τῷ σταυρῷ θῦμα γενόμενον καὶ θανόντα, πάλιν αὖθις ἀναστῆναι, καὶ εἰς οὐρανοὺς ἀνα-

ἀναβάντα, ἐν τῇ δεξιᾷ σου πρεσβεῦσαι ἠθέλησας· καὶ δι' αὐτὸν πᾶσιν ἡμῖν τοῖς πιστεύσι προῖκα δίδως ἁμαρτιῶν ἄφεσιν, καὶ ἅμα τῇ καταλλαγῇ καὶ τὰ τοῦ ἁγίου πνεύματος χαρίσματα, δικαιοσύνην τε καὶ ζωὴν αἰώνιον· ἐξάπτεις τε καὶ περιβιβάζεις ἐν ἡμῖν τό τε τοῦ εὐαγγελίου σέλας, καὶ τὰ ἀναγκαῖα παιδείας ἐπιτηδεύματα· τῇ τε ἐκκλησίᾳ σου καὶ ταῖς σχολαῖς ἀεὶ καταγώγιά τινα καὶ ὅρμους κατὰ τοῦ διαβόλου παρασκευάζεις τε καὶ διασώζεις. καὶ ἐν ἄλλοις τοῖς ἐκλεκτοῖς σου, κἀμὲ εἰς τὴν τῆς ἀφθίτου ἐκκλησίας σου κοινωνίαν ἐκάλεσας· ἐν ᾗ καὶ γεννηθέντα με καὶ ἀνατραφέντα, πρὸ ἄλλων πολλῶν ἀνθρώπων, τῷ ἐξαιρέτῳ καὶ ἀμυθήτῳ ἐλέει σου, τῆς δὲ τῆς εὐεργεσίας ἠξίωσας ὥστε ἅμα τοῖς γράμμασι καὶ τοῖς καλοῖς μαθήμασι, τήν τε γνῶσίν σου καὶ φόβον, καὶ τὴν λοιπὴν τῆς εὐσεβείας μάθησιν παιδεύεσθαι.

in cœlos, & ſedere ad dextram tuam: & propter eum omnibus nobis qui credimus, gratis donas remiſſionem peccatorum, reconciliationem, Spiritum Sanctum, juſtitiam & vitam æternam: accendis & ſervas inter nos lucem Euangelii, & neceſſaria doctrinarum ſtudia das, & contra Diabolos defendis aliqua Eccleſiæ & ſcholarum hoſpitia: & me quoque ad hujus æternæ Eccleſiæ ſocietatem elegiſti ac vocaſti: in qua & naſci me voluiſti, & in agnitione ac timore tui educari; meque præ multis aliis hominibus, pro ſingulari & ineffabili miſericordia tua, ornaſti hoc ſummo beneficio, ut cum literis & bonis artibus, etiam pietatis doctrina inſtituerer. Et

ſi autem his beneficiis me indigniſſimum agnoſco: tamen quia juſſiſti nos propter Chriſtum filium tuum, à te petere & expectare remiſſionem peccatorum & Spiritum Sanctum; confiteor & deploro omnem meam immunditiem & ingratitudinem, & toto pectore oro, ut remittas mihi omnia peccata mea propter unigenitum Filium tuum, Dominum noſtrum: ſanctificeſque me ac perpetuo regas Spiritu tuo ſancto; ut te ſolum verum Deum, & coæternum tibi filium, Dominum noſtrum Jeſum Chriſtum, & Spiritum Sanctum, vere agnoſcam, invocem, timeam, & diligam. Collige & conſerva tibi Eccleſiam: tuere politias, quæ ſunt Eccleſiæ hoſpitia: conſerva ſcholas, Eccleſiæ & Reipu-

Καὶ τούτων μὲν τῶν εὐεργετημάτων ἀναξιώτατος ὢν γινώσκω· ἐπεὶ μὲν τοι διὰ τὸν Χριστὸν τὸν υἱόν σου, αἰτεῖν τε καὶ προσδέχεσθαι ἐκέλευσας ἁμαρτημάτων ἄφεσιν, καὶ πνεῦμα ἅγιον· ὁμολογῶ τε καὶ ὀλοφύρομαι πᾶσαν τὴν ῥυπαρίαν μου καὶ ἀχαριστίαν, ὁλοψύχως σου δεόμενος. ἀφιέναι μοι πάσας τὰς ἁμαρτίας μου, διὰ τὸν μονογενῆ σου υἱόν, τὸν κύριον ἡμῶν· ἁγιάσαι τέ με καὶ διηνεκῶς ὁδηγῆσαι τῷ ἁγίῳ σου πνεύματι· ἵνα μόνον σε τὸν ἀληθινὸν θεὸν, καὶ τὸν συναΐδιόν σοι υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, σὺν τῷ ἁγίῳ πνεύματι, ὀρθῶς ἐπιγνοὺς. ἐπικαλούμενός τε καὶ μετὰ φόβου ἀγαπῶν διατελῶ. Συνάγειρε καὶ σύσσωζέ σοι ἐκκλησίαν. διαφύλαττε τὰς πολιτείας τὰς τὴν ἐκκλησίαν σου ξενιζούσας· συντήρει τὰς σχολὰς, τὰς τῇ τε ἐκκλησίᾳ καὶ τῆς πολιτείας φυτού·

φυτουργήρια ἐκτρέφου-
σας ἔγειρε καὶ παραβίβαζε
πιστοὺς καὶ σωτηρίους καθ-
ηγητάς τε καὶ κυβερνήτας·
σύν τε τοῖς καλοῖς παι-
δεύμασι, καὶ σώφρονι ἔν
τε ταῖς ἐκκλησίαις καὶ
ταῖς πολιτείαις διαίτῃ,
καὶ εἰρήνην ἡμῖν καὶ εὐμοι-
ρίας ἐπιχορήγει καὶ τὴν ἐ-
μὴν δὲ κλῆσιν εὐόδωσον ὦ
πάτερ, ἐλέους τέ με σκεῦ-
ος ποιῶν, καὶ ὄργανον ἐ-
μοί τε αὐτῷ καὶ ἑτέροις
σωτήριον· μὴ ἐάσῃς με
ὑπὸ τοῦ διαβόλου ἢ τῆς ἰδί-
ας σαρκὸς πειρασθέντα,
ῥαθυμίᾳ, περιεργίᾳ, ἢ
φιλοτιμίᾳ ἐγκυλίεσθαι·
οὐδ᾽ ἄφες ἐν τῇ καρδίᾳ
μου ἐκφῦναι ἐλπίδας
ματαίας, ἢ μωρὰς ἐπι-
θυμίας· ἀλλὰ σπουδὴν
μοι ἐμποίησον, τὴν τῇ
κλήσει μου ἁρμόζοντα ὀρ-
θῶς, μετὰ προθυμίας τε καὶ προνοίας διαπράττου-
σαν· ἔξαψον καὶ ἐπίῤῥωσον ἐν τῇ καρδίᾳ μου γνῶ-
σίν σου καὶ ἔρωτα, φιλαλήθειάν τε καὶ ἄοκνον περὶ
τὰ ὠφέλιμα καὶ ἀναγκαῖα σπουδήν· ἵνα πάν-

blicæ ſeminaria: Excita & adjuva fideles ac ſalutares Doctores & gubernatores: & cum luce doctrinarum pacem quoque & honeſtam diſciplinam in Eccleſiis & Rebuspublicis tuere. Guberna & fortuna meam quoque vocationem; & fac me vas miſericordiæ, organumque mihi pariter & aliis ſalutare. Ne ſinas me à Diabolo vel à carne meâ tentari, & negligentia, curioſitate, vel ambitione involvi; ne ſinas in corde meo exoriri ſpes vanas, ſtultaſve cupiditates, ſed effice, ut vocationis meæ officia recte, diligenter, & feliciter faciam. Accende & corrobora in me agnitionem & amorem tui, ſtudium veritatis & rerum utilium ac neceſſariarum: ut o-

mnia dona quæ in me contuliſti, & omnes labores meos, referam ad tuam unius gloriam, & proximi utilitatem. Defende me à pravis ſodalitiis, & ab omnibus diabolorum inſidiis. Sit verbum tuum lucerna pedibus meis, & lumen ſemitis meis. Hæc & alia hujuſmodi peto à te, benigniſſime pater, propter Dominum noſtrum Jeſum Chriſtum, qui inter cæteras hanc quoque promiſſionem fecit: Quidquid petiveritis à patre in nomine meo, dabit vobis. Item, Dabit Spiritum Sanctum iis, qui ab eo petunt. *Pater noſter qui es in cœlis.*

των, τῶν τ' ἐκ σοῦ χαρισμάτων, καὶ τῶν ἐμῶν καμάτων, σκοπὸν θῶ τήν τε δόξαν σου, καὶ τὴν τοῦ πλησίου ὠφέλειαν· φύλαξόν με ἀπὸ πάσης ἑταιρείας κακῆς, καὶ πάσης τῶν κακοδαιμόνων ἐπιβουλῆς· ἔστω δὲ λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ταῦτα καὶ τὰ τοιουτότροπα δέομαί σου, ὦ πάτερ, διὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ὃς ἐν ταῖς ἄλλαις καὶ ταύτην ἡμῖν ὑπόσχεσιν ἐποίησεν· Ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν· καὶ αὖθις· Δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν. Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρ.

Depoſitum ſerva, & exuſcita donum Dei quod eſt in te. 1 Timoth. 6. & 2 Timoth. 1.

Τὴν παρακαταθήκην φύλαξον, καὶ ἀναζωπύρει τὸ χάρισμα τοῦ Θεοῦ ὅ ἐστιν ἐν σοι. Ἐπισ. πρὸς Τιμ. α'. ς', καὶ β', α'.

ΕΥ'ΧΗ' ΠΡΟ' ΕΠΙχειρήσεως τοῦ ἔργου.

Παντοδύναμε θεὸς, φιλοικτε πάτερ, χάριν σοι ὁμολογοῦμεν, ὅτι τῇδε τῇ νυκτὶ οὕτω φιλοστόργως ἡμᾶς διεφύλαξας. ἐπεὶ δὲ καὶ τήνδε τὴν ἡμέραν σώους ἡμᾶς ἰδεῖν ἠξίωσας, χάρισαι ἡμῖν, ὦ πάτερ, ὅπως ὅλην αὐτὴν ὑπὸ τῇ σκέπῃ σου ἐν καταθυμίοις σοι πράξεσι διαγάγωμεν. καὶ καθάπερ νῦν ταῖς τοῦ ἡλίου ἀκτῖσιν ὅλον τὸν κόσμον διαυγάζεις· οὕτω καὶ τῷ τοῦ πνεύματός σου φέγγει τὰ σκοτεινὰ τῶν ἡμετέρων φρενῶν διαφώτισον, ἵνα μὴ τῆς ἀτραποῦ, τῆς εἰς τὴν δικαιοσύνην σου φερούσης, ἀποπλανηθέντες, οὔτ' ἐπὶ τάδε, οὔτ' ἐπ' ἐκεῖνα παραφερώμεθα· ἀλλὰ σε τὸν πάντα τὰ ἡμέτερα ἐποπτεύοντα, συνεχῶς πρὸ ὀμμάτων ἔχοντες, τῶν τε ἡμετέρων ἐνθυμημάτων, λόγων τε καὶ ἔργων

PRECATIO ANtequam ad opus accedatur.

Omnipotens, miſericors Deus, agimus tibi gratias, quod nos hanc noctem adeo clementer cuſtodieris. Quoniam vero hanc etiam lucem ſalvos nos videre voluiſti, largire nobis pater, ut eam totam in iis rebus tranſigamus, quæ tibi gratæ & acceptæ ſint. Et ut jam Solis tui radiis univerſum terrarum orbem illuſtras: ſic etiam Spiritus tui ſplendore obſcura mentis noſtræ illumines, ne à ſemita juſtitiæ tuæ aberrantes, in hanc vel illam partem declinemus: ſed te ſemper, omnia noſtra intuentem, nobis ante oculos proponamus, te noſtrarum cogitationum, dictorum, factorum-

que

que omnium, teſtem & vindicem agnoſcamus & revereamur; nec quicquam ſit, quod magis metuamus, quam ne tam benignum Patrem offendamus: ſed quicquid aggreſſuri fuerimus aut inſtituerimus, nobis perpetuo propoſitum habeamus, ut ad tuam unius gloriam & aliorum utilitatem referamus omnia. Adhæc, quoniam conſilia ſalutaria, occaſiones idoneæ, feliciſque rerum ſucceſſus & eventus, penes te unum ſunt: fac, ut hæc omnia à te ſolo exſpectemus & petamus. Item effice clementiſſime Pater, ne in parandis iis, quæ ad hujus vitæ neceſſitatem pertirent, tantum curæ laboriſque impendamus, ut interea res cœleſtes negligamus aut ſegnius tractemus; ſed ut primum ſemper quæramus regnum tuum, & juſtitiam tuam; nec dubitemus, quin ſic agen-

ἁπάντων μάρτυρα ὁμοῦ καὶ ἐκδικητὴν ἐπιγνόντες, αἰδεσθῶμεν, οὐδ᾽ ἄλλο τι ἐστὶ μεῖζον ὃ εὐλαβείας φυλαξώμεθα, ἤ, τό σοι τῷ οὕτω φιλοστόργῳ πατρὶ προσκρούειν· ὅπῃ δ᾽ ἂν ἢ νοῦν ἢ χεῖρας προσβάλλωμεν, τοῦτον ἀεὶ σκοπὸν ἔχωμεν, τὸ πρὸς τὴν σὴν δόξαν καὶ τὴν τοῦ πλησίον ὠφέλειαν ἀναφέρειν ἅπαντα. Πρὸς τούτοις, ἐπειδὴ εὐβουλίαι, εὐκαιρίαι, εὐπραγίαι τε καὶ κατορθώσεις, ἐπὶ μόνῳ σοὶ τυγχάνουσιν ὄντα· δὸς ἵνα παρὰ μόνου σοῦ ταῦτα προσδοκῶμεν τε καὶ αἰτῶμεν ἅπαντα. Ἔτι δὲ χάρισαι ὦ πάτερ, ὅπως μὴ τῷ τῶν χρειωδῶν πορισμῷ λίαν προσκείμενοι, τῶν ἐπουρανίων ἀμελείᾳ ἢ ὀλιγωρίᾳ περιπέσωμεν, ἀλλὰ τὴν βασιλείαν σου καὶ δικαιοσύνην τὸ πρῶτον ζητῶμεν, οὐδὲν ἀποροῦντες, τοῖς τούτων φρον-

τίδα

ἤδη ποιουμένοις καὶ τὰ ἄλ-
λα ὑπό σου προστεθήσε-
σθαι ἅπαντα. Πρὸς τού-
τοις διασώζων καὶ σκεπά-
ζων τοῦ σώματος· τοῦ δὲ καὶ
τῆς ψυχῆς τὸ ἀσθενές, τῇ
τοῦ πνεύματός σου φρονέσει
τε καὶ ῥώμῃ ἐνσκεύασαι
ἡμᾶς πρὸς τὰς διηνεκεῖς
καὶ μυριοτρόπους τοῦ σα-
τανᾶ ἐπιβολάς, παντὸς
ἡμᾶς φόβου καὶ κινδύνου
ῥυόμενος, οἷς ἐν τῷδε τῷ
κόσμῳ κατὰ πᾶσαν καιροῦ
ῥοπὴν οἱ δύστηνοι ἐγκεί-
μεθα. Ἐπεὶ δὲ καλῆς ἀρ-
χῆς ὄφελος οὐδὲν, ἐὰν μὴ
καὶ γενναῖον αὐτῇ τέλος
ἐπιτεθῇ, οὐ σήμερον μόνον
τῆς σκέπης σου ἡμᾶς κατα-
ξίωσον, ἀλλὰ καὶ τὸ λοι-
πὸν τοῦ βίου πάντα ὁδηγὸς ἡ-
μῖν καὶ ὑπερασπιστὴς γε-
νέσθαι ἀξίωσον, βεβαιῶν
καὶ ἐπαύξων ἐν ἡμῖν ἅ-
περ κατὰ τὴν φιλοικτὸν σου
ἀγαθωσύνην τοῖς ἀναξίοις ἡμῖν ἁμαρτωλοῖς κεχά-
ρισαι χαρίσματα, ἕως οὗ τέλεον τῇ κεφαλῇ ἡμῶν
Χριστῷ ἐνωθῶμεν· ὃς ὁ μόνος τῆς δικαιοσύνης ἥλιος

tibus, cætera omnia
ſis adjecturus. Tuere
quoque ac defende
hoc fragile corpus &
animam noſtram: In-
ſtrue nos conſiliis &
robore Spiritus tui ad-
verſus tot ac tam va-
rios Satanæ inſultus.
Libera nos omni metu
& periculis, quibus
in hoc mundo omnibus
momentis expoſiti ſu-
mus. Quoniam vero
nihil eſt recte ince-
piſſe niſi etiam gnaviter
perficiamus: Oramus,
non hoc tantum die
nos in tutelam tuam
ſuſcipias, ſed ut porro
etiam per omnem vi-
tam, dux nobis & de-
fenſor eſſe velis; con-
firmans & adaugens
dona quæ pro tuâ bo-
nitate & miſericordiâ
in nos indignos pecca-
tores contuliſti; quoad
plene tandem ac perfe-
cte nos capiti noſtro
Chriſto adunias: qui
cum ſit unicus ille ſol

juſti-

juſtitiæ, æterna ſua luce & lætitiâ nos ſuo tempore complebit. Interea autem, dum in hâc ærumnoſâ vitâ degimus, mitte fideles animarum Paſtores, & per verbum eorum ſit efficax Spiritus ſanctus in cordibus auditorum, ut magna tibi Eccleſia colligatur, & opera Diaboli magis ac magis deſtruantur. Magiſtratum divino tuo robore ſic arma, ut Eccleſiam & Politias defendat. Conſolare & confirma, quotquot ſunt animo vel corpore afflicti. Ut autem hæc tanta bona à te petere & expectare audeamus, condona nobis noſtra triſtia peccatà, propter dilectum Filium tuum Jeſum Chriſtum, qui nobis promiſit, quicquid ſuis promiſſis freti à te petiverimus, id te nobis certiſſime daturum eſ-

ὑπάρχων, τῆς αἰωνίου ἡμᾶς αὐγῆς τε καὶ χαρᾶς ἐν καιρῷ ἀναπληρῶσαι. Ἐν ὅσῳ δὲ τὸν οἰζυρὸν ἐνθάδε βίον διάγομεν, πέμψον πιστοὺς τῶν ψυχῶν ποιμένας· καὶ τὸ πνεῦμά σου ἐν ταῖς τῶν ἀκροατῶν καρδίαις ἐμβριθῶς ἐνεργείτω, ἵνα ἥ τε ἐκκλησία ἀξιόχρεων λάβῃ ἐπίδοσιν, καὶ τὰ τοῦ διαβόλου ἔργα ἐπὶ μᾶλλον καταλυθῇ. Τὰς ἀρχὰς δὲ τῇ θείᾳ σου ἰσχύϊ ὅπλισον, ἵνα τῆς ἐκκλησίας τε καὶ τῆς πολιτείας κρατερῶς ὑπερμαχῶσι. Παρηγόρησον καὶ ἐπίρρωσον ὅσοι ἢ σώματι ἢ ψυχῇ ἀσθενοῦντες τυγχάνουσιν. Ὅπως δὲ ταῦτα καὶ τηλικαῦτα παρά σου ἀγαθὰ αἰτῆσαί τε καὶ προσδοκῆσαι θαρρῶμεν, τὰς ἐπαχθεῖς ἡμῖν ἁμαρτίας ἄφες, διὰ τὸν ἀγαπητόν σου υἱὸν Χριστὸν, ὃς ἐπηγγείλατο ἡμῖν, ὅτι, ὅσα ἂν ταῖς αὐτοῦ ὑποσχέσεσι θαρροῦντες παρά σου αἰτήσωμεν, ἀναμφιλόγως χορηγήσειν μέλλεις.

λεις. καὶ ἐπὶ τούτοις ὧδε σοι προσεύχεσθαι ἐκέλευσε· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρ.

ΕΥ'ΧΗ' ΠΡΟ' ΤΟΥ͂ τροφῆς μεταλαμβάνειν.

Ψαλμ. ρμδ΄. Οἱ ὀφθαλμοὶ πάντων εἰς σε ἐλπίζουσι, κύριε· καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ· ἀνοίγεις σὺ τὴν χεῖρά σου καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας.

Κύριε παντοκράτωρ, ὁ τῇ ὑπερφυεῖ σου ἀγαθωσύνῃ τὰ πάντα ἐξ οὐδενὸς τὴν ἀρχὴν δημιουργήσας, καὶ εἰσέτι διασώζων τε καὶ κυβερνῶν· ὁ τὸν λαόν σου τὸν Ἰσραὴλ τεσσαράκοντα ἔτη χρόνου ἐν τῇ ἐρήμῳ θαυμασίως διαθρέψας· εὐλόγησον καὶ ἡμᾶς τοὺς ἀθλίους σου δούλους, καὶ τὰ δῶρα τοῦ φιλαγάθου χειρός σου ἁγίασον· ἵνα σωφρόνως αὐτῶν

ſe: Ideoque ſic nos precari juſſit: *Pater noſter*, &c.

PRECATIO ANtequam capiatur cibus.

Pſalm 144. *Oculi omnium in te ſperant Domine, & tu das eſcam illis in tempore opportuno: aperis tu manum tuam, & imples omne animal benedictione.*

OMnipotens, clementiſſime Deus, qui immenſâ bonitate omnia è nihilo condidiſti, eademque perpetuò divinâ potentiâ tuâ ſuſtines ac gubernas; qui populum tuum Iſraëlem in deſerto per annos quadraginta mirabiliter aluiſti: benedic nobis quoque miſeris ſervis tuis: atque hæc tua dona ſanctifica, ut iis ſobrie ſanctèque fruamur,

mur, atque inde agnoſcamus, ut vere nobis patrem eſſe & fontem omnium bonorum. Da præterea ut his corporalibus bonis utentes, ita ſemper affecti ſimus, ut præcipuè quæramus ſpiritualem illum cibum verbi tui, quo animæ noſtræ ad vitam æternam nutriantur, quam nobis Chriſtus pretioſo ſuo ſanguine paravit. *Pater noſter, &c.*

Sic porro monet Chriſtus, Luc. 21.

Cavete vobis, ne quando graventur corda veſtra crapulâ & ebrietate, & curis hujus vitæ, & repente vos opprimat dies ille, tanquam laqueus.

καὶ ὁσίως κατὰ τὸ θέλημά σου ἀπολαύσαντες, ἐκ τούτου ἀληθῶς σε πατέρα ἡμῖν ὄντα, παντός τε ἀγαθοῦ κρουνὸν ἐπιγνῶμεν. Δὸς δὲ ὅπως οὐ μόνον τῇ τῶν σωματικῶν ἀπολαύσει ταῖς διαθέσεσι προσέχωμεν, ἀλλὰ περὶ πάντων τὸν πνευματικὸν ἄρτον μαστεύωμεν, τοῦ ῥήματός σου δῆθεν, τοῦ τὰς ψυχὰς ἡμῶν ἐκτιθηνοῦντος εἰς ζωὴν αἰώνιον ὅπερ ἡμῖν τῷ τιμίῳ τοῦ υἱοῦ σου αἵματι ηὐτρέπισαι. Πάτερ ἡμῶν.

Οὕτω δ' ἡμᾶς νουθετεῖ ὁ Χριστὸς ἐν τῷ κα' τοῦ κατὰ Λουκᾶν εὐαγγελίου.

Προσέχετε ἑαυτοῖς, μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνιδίως ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ΕΥ'ΧΑΡΙΣΤΙ'Α μετὰ τὴν τῆς τροφῆς μετάληψιν.

Οὕτω νουθετεῖ ὁ κύριος Δευτερονομίου τοῦ η΄.

Φάγῃ καὶ ἐμπλησθήσῃ; καὶ εὐλογήσεις κύριον τὸν θεόν σου ἐπὶ τῆς γῆς, ἧς δέδωκέ σοι· πρόσεχε σεαυτῷ μὴ ἐπιλάθῃ κυρίου τοῦ Θεοῦ σου, τοῦ μὴ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ.

Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, εὐσπλαγχνότατε πάτερ, Χάριν σοι ὁμολογοῦμεν ἀντὶ τοσούτων τε καὶ τηλικούτων εὐεργετημάτων, ἅπερ ἡμῖν τοῖς ἀθλίοις ἁμαρτωλοῖς διηνεκῶς χαριζόμενος διατελεῖς, τόν τε βίον ἡμῖν τὸν ὧδε, καὶ τὰ πρὸς αὐτὸν χρειώδη ἅπαντα οὕτω φιλοστόργως ἐπαρκῶν. ὑπὲρ ἅπαντα δὲ, ὅτι διὰ τῆς τοῦ εὐαγγελίου φωνῆς, εἰς βίου πολὺ

GRATIARUM actio poſt ſumptum cibum.

Sic monet Dominus.

Deut. 8. *Cum comederis & ſatiatus fueris; gratias ages Domino Deo tuo, nec unquam committes, ut obliviſcaris Domini Dei tui, & præcepta ejus negligas.*

Domine Deus, pater cœleſtis, agimus tibi gratias pro ſummis tuis & infinitis beneficiis, quæ pro immensâ miſericordiâ tuâ, in nos miſeros peccatores confers; quod nos ſuſtentas in hâc mortali vitâ omnia ſuppeditans quæ ſunt neceſſaria: inprimis vero, quod nos dignaris per ſanctam Euangelii tui doctrinam

in

in ſpem melioris vitæ regenerare. Rogamus te, miſericors Deus & Pater, ne permittas ut animi noſtri in his terrenis & caducis rebus defixi hæreant: ſed quæ in cœlis ſunt, ſuſpiciant & quærant; expectantes illinc ſervatorem noſtrum Jeſum Chriſtum, donec ad nos liberandos in nubibus appareat. *Pater noſter,* &c.

PRECATIO ANtequam cubitum eatur.

Domine Deus, Pater cœleſtis, qui pro multiplici ſapientiâ tuâ diem labori, noctem quieti deſtinaſti: agimus tibi gratias, quod nos hac die adeo clementer cuſtodiviſti, noſque aſſidue tot beneficiis cumulas, largire etiam, pater, ut à labore & curis requieſcentes, ita

κρείττονος ἐλπίδα ἡμᾶς ἀναγεννῆσαι ἠξίωσας. Δεόμεθά σου, πάτερ, μὴ ἐάσῃς τὰς ψυχὰς ἡμῶν τοῖς γηΐνοις τοῖς δὲ καὶ ἐπικήροις προσκολλᾶσθαι, ἀλλὰ συνεχῶς ἀνακυπτούσας, τά τε ἄνω ζητούσας, ἐκεῖθεν προσδέχεσθαι τὸν σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν, ἄχρις οὗ ἐν νεφέλαις πρὸς τὴν ἡμῶν ἀπολύτρωσιν ἐπιφανήσεται. Πάτερ ἡμῶν.

ΕΥΧΗ ΠΡΟ ΤΟΥ κοιτάζεσθαι.

Κύριε ὁ Θεὸς, ὁ τῇ πανσόφῳ οἰκονομίᾳ σου τὴν μὲν ἡμέραν τοῖς πόνοις, τὴν δὲ νύκτα τῇ ἀναπαύλῃ προορίσας· Χάριν σοι γινώσκομεν, ὅτι οὕτω φιλοστόργως ἡμᾶς τὴν σήμερον διεφύλαξας, καὶ τοσούτοις εὐεργετήμασιν ἀδιαλείπτως ἐσώρευσας· Χάρισαι ἡμῖν, ὦ πάτερ, ἵνα ἐν ὅσῳ τὰ σώματα

ἡμῶν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ἡμῶν ἀπὸ καμάτων καὶ μεριμνῶν ἀναπαυόμενα τῷ ὕπνῳ ἀναζωπυρεῖται. αἱ διάνοιαι ἡμῶν μὴ συγκαταδαρθοῦσαι τοῖς σώμασιν, ἐν τῇ ἀγάπῃ σου ῥαστωνεύωσιν, ἀλλὰ τήν τε κτίσιν ἡμῶν καὶ τὴν ἀπολύτρωσιν ἀεὶ διὰ μνήμης ἔχουσαι, τοὺς οἰκτιρμούς τε καὶ πάσας τὰς εὐεργεσίας σου ἐμπαθῶς μελετῶσαι διατελῶσιν. αἱ δὲ συνειδήσεις ἡμῶν, ἐξ ἴσου τοῖς σώμασι καὶ αὐταὶ τῆς ἰδίας ἀναπαύσεως συμμετάσχωσι. Μὴ δ' ἀμέτρῳ ἡμᾶς ὕπνῳ κατατεῖσθαι ἐάσης, τῇ ῥᾳθυμίᾳ, οὐ τῇ ἀνάγκῃ ἐνδόντας· ἀλλὰ μετρίᾳ παύσει ἀνακτηθέντας, κἀντεῦθεν πρὸς τὰ συνήθη τῶν ἔργων προθυμοτέρᾳ ἀκμῇ ἐπανελθόντας, σοί τε καὶ τῷ πλησίον λατρεύειν εὐσταλεστέρους ἀποτέλεσον· μεταξὺ δὲ κοιμωμένους πάντας ἡμᾶς κινδύνου ῥῦσαι καὶ προσέτι τοῖς τε σώμασιν ἡμᾶς καὶ ταῖς ψυχαῖς ἀμιάντους διατήρει· ἵνα καὶ ὕπνος ἡμῶν εἰς τὴν τοῦ ὀνόματός

ſomno reficiamur, ut animus interea non velut cum corpore conſopitus, in amore tui dormiret, ſed ut memoria creationis & ſalutis noſtræ, nullo unquam tempore de noſtris cordibus deleatur. Da præterea, ut conſcientia noſtra non minus, quam corpus, ſuâ etiam quiete fruatur. Ad hæc ut ſomno moderate utentes, non ignaviæ, ſed neceſſitati conſulamus: ut ſcilicet ad intermiſſa opera alacriores vegetioreſque redeuntes, tibi & proximo expeditius ſerviamus. Interea vero dum ſomnum capimus, nos ab omni periculo tuere, animoque item & corpore impollutos conſerva, ut noſter ſomnus etiam ad tui nominis gloriam

pertingat. Porro cum dies hic nobis non ſine multiplici lapſu abierit (quoniam miſeri perpetuo peccatum circumferimus) rogamus te, quemadmodum nox omnia nunc tenebris involvit; ſic tu pro immensâ miſericordiâ tu â omnia peccata noſtra ſepelias; ne propter ea à conſpectu tuo repellamur. Largire etiam quietem & conſolationem omnibus qui cum morbis, aliiſve calamitatibus conflictantur, propter Jeſum Chriſtum, Filium tuum Dominum noſtrum; qui nos in quibuſvis neceſſitatibus, pro nobis & fratribus, hiſce verbis te precari docuit: *Pater noſter*, &c.

σου δόξαν ἀνήκῃ. Ἐπεὶ δὲ ἡ σήμερον οὐ δίχα πολλαπλασίων ἡμῖν πταισμάτων παρῆλθεν, ἅτε ἀδιαλείπτως δύστηνοι ἁμαρτημάτων ἄχθος περιφέρουσιν, ἱκετεύομέν σε, καθάπερ ἐν τῷ νῦν πάντα τῷ τῆς νυκτὸς σκότῳ κατακεκάλυπται, οὕτω καὶ τῇ ὑπερφυεῖ σου εὐσπλαγχνίᾳ πάσας ἡμῶν τὰς πλημμελείας καταθάψῃς, ἵνα μὴ διὰ ταύτας ἀπὸ τοῦ προσώπου σου ἀποσοβηθῶμεν. Ἔτι δὲ παύλης καὶ ψυχαγωγίας μετάδος πᾶσι τοῖς ἀρρωστίαις ἢ ἑτέραις τισὶ συντυχίαις ταλαιπορουμένοις, δι' Ἰησοῦν Χριστὸν, τὸν υἱὸν σου, κύριον ἡμῶν, ὃς ἡμᾶς ἐπὶ πάσαις ταῖς ἀνάγκαις, ὑπὲρ ἡμῶν τε καὶ τῶν ἀδελφῶν, ταύταις σοι ταῖς ῥήσεσιν ἐντυγχάνειν ἐδίδαξε· Πάτερ ἡμῶν.

ῬΗΣΕΙΣ.

Τῆς ἁγίας γραφῆς, δι' ὧν καθάπερ διὰ κατοικιδίου πίνακος, εἷς ἕκαστος κατὰ τὴν αὐτοῦ τάξιν τοῦ καθήκοντος ὑπομιμνήσκεται.

Τοῖς ἄρχουσιν.

ΣΥ'νετε οἱ βασιλεῖς· Παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν· δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ· δράξασθε παιδείας, μήποτε ὀργισθῇ ὁ κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας, ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ. Ψαλ. β'.

Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν· Μάθετε καλὸν ποιεῖν· ἐκζητήσατε κρίσιν· ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν. Ἠσαΐας α',

DICTA.

SCRIPTURÆ Sacræ, quibus in ſuo vitæ genere quiſque de ſuo commonefit & eruditur officio.

Magiſtratui.

REges, prudenter agite: erudimini qui judicatis terram. Servite Domino in timore, & exultate ei cum tremore. Apprehendite diſciplinam, ne quando iraſcatur Dominus, & pereatis de viâ juſtâ, cum exarſerit brevi irâ ejus. Pſalm. 2. v. 10, 11. 12.

Deſinite male facere; diſcite benefacere; quærite judicium, dirigite oppreſſum, judicate pupillo, judicate viduæ. Eſa. 1, 16, 17.

Subditis.

Omnis anima poteſtatibus ſupereminentibus ſubjecta eſto, non enim eſt poteſtas niſi à Deo: & quæ ſunt poteſtates, ſunt à Deo ordinatæ. Itaque quiſquis ſe opponit poteſtati, Dei ordinationi reſiſtit: qui autem reſiſtunt, ipſi ſibi condemnationem auferent. Nam magiſtratus non ſunt terrori bonis operibus, ſed malis. Vis autem non metuere poteſtatem? quod bonum eſt facito, & laudem ab ipſâ ob tinebis. Dei enim miniſter eſt tuo bono. Quod ſi feceris quod malum eſt, metue: non enim temere gladium geſtat. Nam Dei miniſter eſt, ultor ad iram ei qui quod malum eſt fecerit. Quapropter neceſſe eſt ſubjici, non ſolum propter iram, ſed etiam propter conſcientiam. Propter hoc e-

Τοῖς Ὑποτασσομένοις.

Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν. Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται. Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Θεοῦ γὰρ διάκονός ἐστι σοι εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῆ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Διὸ ἀνάγκη προτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

λεῖτε· λειτουργοὶ γὰρ Θεοῦ εἰσιν εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν. Ῥωμ. ιγʹ. αʹ, βʹ, γʹ, δʹ, εʹ. ϛʹ, ζʹ.

Τοῖς Ἀνδράσιν.

Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν. Ἐπισ. πρὸς Ἐφεσ. εʹ, ιαʹ

Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς Ἐπισ. πρὸς Κολ. γʹ.

Οἱ ἄνδρες, συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκληρονόμοις χάριτος ζωῆς· Εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν. Ἐπισ. Πέτρου αʹ. γʹ.

nim etiam tributa ſolvitis: ſiquidem miniſtri Dei ſunt in hoc ipſum incumbentes. Reddite igitur omnibus quod debetis: cui tributum *debetur*, tributum: cui vectigal, vectigal: cui timorem, timorem: cui honorem, honorem. Rom. 13. v. 1, 2, 3, 4. 5, 6, 7.

Maritis.

Viri, diligite uxores veſtras, ſicut & Chriſtus dilexit Eccleſiam: Epiſt. ad Epheſ. 5. 11.

Viri, diligite uxores: & ne ſitis adverſus eas amarulenti. Epiſt. ad Coloſſ. 3.

Viri una verſentur, ut ſcientes decet, vaſi muliebri, ut infirmiori, tribuentes honorem, utpote cum una etiam hæredes ſint gratiæ vitæ: ne interrumpantur preces veſtræ. 1 Pet. 3.

Uxoribus.

Uxores propriis viris ſubjectæ eſtote, ut Domino: quoniam vir eſt caput uxoris, ut & Chriſtus caput Eccleſiæ. Epiſt. ad Epheſ 5. & Epiſtol. ad Coloſſenſ 3.

Uxores ſubjectæ ſint ſuis viris, ut, ſi qui non obediant ſermoni, per uxorum converſationem abſque ſermone lucrifiant, ubi ſpectarint cum reverentiâ conjunctam caſtam converſationem veſtram, quarum ornatus non ſit externus, ille in nodis capillorum, & circumpoſito auro, vel palliorum amictu: ſed occultus ille cordis homo, ſitus in incorruptione lenis ac quieti Spiritus, qui eſt coram Deo pretioſus. Ita enim olim & ſanctæ illæ mulieres ſperantes in Deo ornabant ſeſe, ſub-

Τοῖς Γυναίξι.

Αἱ γυναῖκες. τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ κυρίῳ. Ὅτι ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας. Ἐπιστ. πρὸς Ἐφ. ε΄. Ἐπιστ. πρὸς Κολ. γ΄.

Αἱ γυναῖκης, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται. ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. ὧν ἔστω οὐχ ὁ ἔξωθεν, ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων, κόσμος· ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν, ἐκό-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

ἐκόσμουν ἑαυτὰς ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν. ὡς Σάῤῥα ὑπήκουσε τῷ Ἀβραὰμ, κύριον αὐτὸν καλοῦσα ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν. Ἐπις. Πέτρου α'. γ'.

Τοῖς Γονεῦσιν.

Ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐπὶ τῆς καρδίας σου, καὶ ἐν τῇ ψυχῇ σου καὶ προβιβάσεις αὐτὰ τοῖς υἱοῖς σου, καὶ λαλήσεις ἐν αὐτοῖς καθήμενος ἐν οἴκῳ, καὶ προπορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος, καὶ ἀνιστάμενος. Δευτε ς'.

Μὴ ἀπόσχῃ νήπιον παιδεύειν· Ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ· σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύσῃ. Παροιμίαι Σολομῶντος κγ'.

jectæ ſuis viris, ſicut Sara obedivit Abrahamo, Dominum eum vocans, cujus factæ eſtis filiæ, dum benefacitis, etiam cum haud terremini ullo pavore. 1 Pet. cap. 3.

Parentibus.

Eruntque verba hæc quæ ego præcipio tibi hodie, in corde tuo, & propagabis ea filiis tuis, & inter eos eloqueris, ſive domi ſedeas, & cum cubitum is, & cum ſurgis. Deut. 6.

Noli ſubtrahere à puero diſciplinam: ſi enim percuſſeris eum virga, non morietur; in virga percuties eum, & animam ejus inferno liberabis. Proverb. Salom. 23.

Qui parcit virgæ, odit filium ſuum; quive-

Ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ·

ro eum diligit, inſtanter erudit. Prov. Salomonis 13. 19. 29.

Filii tibi ſunt? erudi illos & curva illos à pueritia eorum. Sapientia Jeſu Siracidæ, 7. 30.

Patres, ne provocare ad iram liberos veſtros; ſed enutrite eos in doctrina & monitis Domini. Epiſt. ad Eph. 6. Epiſt. ad Coloſſ. 3.

Liberis.

Liberi auſcultate in Domino parentibus veſtris, id enim eſt juſtum; Honora patrem tuum & matrem tuam: quod præceptum primum eſt cum promiſſione, ut bene tibi ſit, & ſis longævus ſuper terram. Epiſtol. ad Epheſ. 6. & Epiſt. ad Coloſſ. 3.

ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει. Παροιμ. Σολομ. ιγ΄. ιθ΄, κθ΄.

Τέκνα σοι ἐστι; παίδευσον αὐτὰ καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν. Σοφία Ἰησοῦ τοῦ Σειράχ, ζ΄. λ΄.

Οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ᾽ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. Ἐπιστολ. πρὸς Ἐφεσ. ϛ΄. Ἐπιστ. πρὸς Κολασ. γ΄.

Τοῖς Παισίν.

Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. Ἐπιστ. πρὸς Ἐφεσ. ϛ΄. Ἐπιστ. πρὸς Κολασ. γ΄.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Τοῖς Νέοις.

Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. Ἐπιϛ. πρὸς Κορινθ. α΄. ϛ΄.

Νεώτεροι, ὑποτάγητε πρεσβυτέροις. Πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε· ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται· ταπεινοῖς δὲ δίδωσι χάριν. Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρρίψαντες ἐπ᾽ αὐτόν· ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. Ἐπιϛ. Πέτρου α΄. ε΄.

Juvenibus.

Ne errare, neque ſcortatores, neque idololatræ, neque mœchi, neque molles, neque qui cum maſculis concumbunt, neque fures, neque avari, neque ebrioſi, neque conviciatores, neque rapaces, regni Dei hæreditatem poſſidebunt. 1 Corinth. 6.

Juniores, ſubjecti eſtote ſenioribus, & omnes viciſſim ſubjicimini. Modeſtia eſtote intus ornati. Nam Deus ſuperbis reſiſtit; humilibus autem dat gratiam. Submittite igitur vos ipſos potenti manui Dei, ut vos in tempore extollat; omni curâ veſtrâ in eum conjecta: Nam illi cura eſt de vobis. 1 Pet. 5.

Dominis.

Vos domini, æquitatem & æquabilitatem ſervis exhibete: ſcientes vos quoque habere Dominum in cœlis. Epiſtol. ad Coloſſ. 4. v. 1.

Servis,

Servi, auſcultate iis qui *veſtri* domini ſunt ſecundum carnem cum timore ac tremore, cum ſimplicitate cordis veſtri, ut Chriſto: Non ad oculum ſermonis, ut qui hominibus placere ſtudent, ſed ut ſervi Chriſti, facientes ex animo quæ vult Deus, Cum benevolentia ſervientes Domino, & non hominibus: Ut qui illud ſciatis, ſingulos, quicquid fecerint boni, hoc reportaturos à Domino, ſive ſervus fuerit, ſive liber. Epiſt. ad Epheſ. 6. v. 5. 6. 7. 8.

Τοῖς Κυρίοις.

Οἱ κύριον, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς. Ἐπισ. πρὸς Κολασ. δ'. α'.

Τοῖς Δούλοις.

Οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ. Μὴ καθ' ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς. Μετ' εὐνοίας δουλεύοντες τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις. Εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος. Ἐπισ. πρὸς Ἐφεσ. ϛ'. ε'. ϛ'. ζ'. η'.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Τοῖς Ποιμέσι.

Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω, καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ματθ. ε΄. ιγ΄, ιδ΄, ιε΄, ιϛ΄.

Προσέχετε οὖν ἑαυτοῖς. καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ

Paſtoribus.

Vos eſtis ſal terræ quod ſi ſal infatuatus fuerit, quo ſalietut? ad nihil valet amplius niſi ut abjiciatur foras, & conculcetur à quibuſvis. Vos eſtis lux mundi. Non poteſt urbs occultari ſupra montem poſita. Neque accendunt lucernam & ponunt eam ſubter modium, ſed in candelabrum, & ſplendet omnibus qui ſunt in domo Ita ſplendeat lux veſtra coram hominibus, ut videant veſtra bona opera, glorificentque Patrem veſtrum qui eſt in cœlis. Matth. 5. v. 13, 14, 15, 16.

Attendite igitur voſipſos, & totum gregem in quo vos Spiritus Sanctus conſtituit Epiſcopos, ad paſcendam Eccleſiam Dei, quam proprio illo ſan-

guine

guine acquiſivit. Actor. 20. 28.

Presbyteros qui inter vos ſunt, precor ego una presbyter, ac teſtis afflictionum Chriſti; atque idem gloriæ patefaciendæ conſors, Paſcite Dei gregem qui penes vos eſt, curam illius agentes non coacte, ſed libenter: non turpiter affectantes lucrum, ſed prompto animo: Neque ut dominantes cleris, ſed ut qui ſitis exemplaria gregis. Et quum apparuerit ille Paſtorum princeps, reportabitis immarceſſibilem illam gloriæ coronam. 1 Pet. 5. v, 1, 2, 3, 4.

τοῦ ἰδίου αἵματος. Πράξ. κ', κή.

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός. Ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως· μηδὲ αἰσχροκερδῶς ἀλλὰ προθύμως· Μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου Καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον. Ἐπιστ. Πέτρου α'. ε'. α', β', γ', δ'.

Eccleſiæ.

Obedite ducibus veſtris, & obſecundate: vigilant enim ipſi pro animabus veſtris, tanquam rationem reddituri: ut cum gaudio hoc faciant, & non ge-

Ἐκκλησίᾳ.

Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυ-

ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Ἐπισ. πρὸς Ἑβρ. ιγ΄ ιζ΄.

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς· Καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ, διὰ τὸ ἔργον αὐτῶν. εἰρηνεύετε ἐν ἑαυτοῖς. Ἐπισ. πρὸς Θεσ. α΄. ε΄. ιβ΄, ιγ΄.

Ἐκκλησιαστικὴ παιδαγωγία.

Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. Ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο· ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ,

mentes: id enim eſt vobis inutile. Heb 13. 17.

Rogamus autem vos, fratres, ut agnoſcatis eos qui laborant inter vos, & præſunt vobis in Domino, & admonent vos: Et quam maxime charos ducatis, propter opus ipſorum. pacem colite inter vos mutuo. 1 Theſſal. 5. 12. 13.

Diſciplina Eccleſiaſtica.

Si vero peccaverit in te frater tuus veni, & argue eum inter te & ipſum ſolum, ſi te audierit. lucratus es fratrem tuum: Sin vero te non audierit, accipe tecum adhuc unum aut duos: ut in ore duorum aut trium teſtium ſit omne verbum. Quod ſi neglexerit eos audire, dic Eccleſiæ: quod ſi Eccleſiam audire neglexerit.

xerit.

xerit, ſit tibi velut quiſpiam ethnicus & quiſpiam publicanus. Amen dico vobis, quæcunque ligaveritis in terrâ, erunt ligata in cœlo: & quæcunque ſolveritis in terrâ, erunt ſoluta in cœlo. Matth. 18, v. 15, 16, 17, 18.

FINIS.

ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Ματθ. ιη΄. ιε΄, ις΄, ιζ΄, ιη΄.

ΤΈΛΟΣ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
224 G 49